TITI BOSTRENI

QUAE EX OPERE CONTRA MANICHAEOS EDITO
IN CODICE HAMBURGENSI SERVATA SUNT

GRAECE

E RECOGNITIONE

PAULI ANTONII DE LAGARDE.

ACCEDUNT IULII ROMANI EPISTOLAE ET GREGORII
THAUMATURGI ΚΑΤΑ ΜΕΡΟΣ ΠΙΣΤΙΣ.

BEROLINI.
W. HERTZ.
1859.

Ezra Abbot

1860, May 25.

·80

Librum quem manu tenes iis destinavi, qui de interpretum syriacorum arte quaerentes librorum graecorum versiones syriacas a me publici iuris factas cum verbis graecis comparare volent, quod, si editionibus Titi Gregorii Iulii adhuc vulgatis utendum esset, non fieri nisi minus commode posse intelligebam. num cura mea interpungendi et modeste corrigendi scriptoribus ipsis profuerit, eorum iudicium esto qui hanc meam editionem cum Basnagii libro contulerint. apographum Titi hamburgense ex eodem codice vaticano confectum, quo Turrianus usus fuerat, benevole mihi permissum usurpavi, qua re effectum est ut nec Basnagium nec Turrianum necessarium esset adire, qui quae peccaverunt sibi peccaverunt, non nobis. sed procul dubio in codice archetypo diversorum virorum commentationes antimanichaeas continente continua aliquot folia turbata et loco non suo a bibliopego inserta sunt; quod quum factum non perspexissent librarii veteres, omnia eo ordine descripserunt quo suo tempore in codice habebantur. ea igitur, quae in appendicem relegavi, leguntur in codice hamburgensi (et vaticano) post vocem αἰῶνας pagina editionis huius 11, 4 (cod. hamb. p. 42 — 99), ne minima quidem distinctione interposita, quae Titi non esse, quum nemodum vidisset, nunc omnes intellecturos esse credo.

argumentum integri operis titiani in codice hamburgensi hoc est: Ὁ πρῶτος περιέχει λόγος ἔλεγχον καὶ ἀνασκευὴν τῶν μάλιστα κεφαλαίων τοῦ δόγματος τῶν Μανιχαίων ὡς ἀλλοτρίως πάντη πρὸς τὰς κατὰ φύσιν κοινὰς ἐννοίας ἐχόντων. Ὁ δεύτερος ἀποδείκνυσιν ὡς οὐκ ἐκ τινὸς τῆς γε μὴ οὔσης ἀνάρχου κακίας καὶ ἐναντίας τῷ θεῷ ἀρχῆς ἄνθρωπος πλημμελεῖ καὶ ὡς οὐδὲν κατ' οὐσίαν ἐν τοῖς οὖσι κακὸν οὔτε μήν τις ἀνισότης ἐν τοῖς καθ' ἡμᾶς ἐστι καὶ ὡς μάτην καὶ λίαν ἀσεβῶς κακί-

ζουσι τὴν τῶν ὅλων οἰκονομίαν. καὶ ὅλως τὸν περὶ προνοίας ἅπαντα λόγον κεφαλαιωδῶς περιλαμβάνει, ἀποδεικνὺς ὡς οὐδεμία ἀνάγκη δευτέραν τινὰ καὶ ἐναντίαν ἀρχὴν τῷ θεῷ ἐκ τῶν πραγμάτων ὑπονοεῖν. Ὁ τρίτος ὑπὲρ τοῦ νόμου καὶ τῶν προφητῶν ποιεῖται λόγον ὡς παρὰ τοῦ θεοῦ πάσης τῆς παλαιᾶς διαθήκης δοθείσης καὶ ὡς οὐδὲν τῶν αὐτόθι πεπραγμένων τε καὶ λελεγμένων εὔλογόν τινα κατηγορίαν ἔχει τοῦ ποιήσαντός τε καὶ λαλήσαντος, καὶ ὡς συνῳδὰ πάντα τῇ καινῇ διαθήκῃ, ὡς μηδὲ ἐντεῦθεν ἀνάγκην εἶναι δευτέραν τινὰ καὶ ἐναντίαν ἀρχὴν τῷ θεῷ ὑπονοεῖν. ὁ τέταρτος ἐξαιρεῖ καὶ τὴν καινὴν διαθήκην τῆς ἐκείνων κατὰ θεοῦ βλασφημίας, ὡς οὐδὲ πρὸς αὐτὴν παντελῶς ἐχόντων τινὰ κοινωνίαν καὶ ὡς μάτην ἐκβιάζονται μέρη γέ τινα ταύτης πρὸς σύστασιν τῆς αὐτῶν ἀσεβείας καὶ ὡς ἡ κατὰ τὸν διάβολον ὑπόθεσις οὐδὲν αὐτοῖς συναίρεται πρὸς ἃ λέγουσι κατὰ θεοῦ.

restat ut quid codices praebeant iis locis doceam quae meo periculo mutata edidi, quo in negotio exequendo interpunctionis accentuum spirituum curam nullam habebo.

1, 8 ὁ δὲ μανεὶς ἐκ
11 κακ. προϊὼν ἀντέστησεν
2, 2 ἀσεβεῖν, πραττομένους παρ' αὐτοῦ
18 τιμῆσαι
19 μισῶν
28 ἀπενέγκηται
30 ὑδρῶτι
5, 11 παρεγγεῖσθαι
35 ἆρ' οὖν ὅπη
6, 25. 26 ἀρ' οὖν ἑκάτερον
27 ὀνομ. εὔδηλον ὡς
39 ἴδια
8, 2 ἀγέννητον
26 εἴπω
9, 13 γῆν γὰρ
10, 23 προσήκειν
11, 14. 15 πεπέρασται
13, 14 ὅπλησιν
36 init. δὴ ἴσως marg. cod.
14, 31 γραφῇ

16, 3 φάσκει μὲν
17, 18 τοῦ γηΐνου τὴν
18, 32 φονεύει
21, 20 προσῆκε μετ' ἐκεῖνον
22, 16 ὁρόντων
26, 9 θαρσαλαίως
21 γεγονώς
27, 15 ἀξιῶμεν
23 ἐπὶ τῷ πολὺ
24 ἁπλὸς ὠφέλημος
27. 28 σῶφρον
29, 37 εὐδοκημήσεως
30, 15 εὐδοκήμησιν
31, 1 ἀναβεβήκει
4 δημιουργήσαντος
32, 6 εἰ τύχοι ἢ πρ.
33, 1 διανήξηται
13 30 ὑδρῶτος
34, 26 τοῦ δὲ πένητος
28 προτιμώτερον
35, 7 ἀναμημνήσκει

35, 16 διαμένει. εἰ καὶ
36, 37 αὐτοὺς ὁ
37, 32 αἰδέσμασι
34 μηδὲν καθορῶντες
38, 28 διὰ τοῖν δυοῖν ἀρχῶν
39, 3 τελευτόντων
12 ὁποσοῦν
40, 30 ὠφέλημος
41, 5 σεισμὸν καὶ λοιμὸν καὶ λιμὸν ἀφωριῶν
20 εὐθυνούμενοι
22 ὠφέλημα
25 εὐθυνία
28 εὐθυνομένους
42, 32 φορὰν, ᾗ ἅμα
43, 5 εὐθυ-
24 ὡμολογήσωσι
44, 5 προστεθεῖσα
45, 27 ὡς δυνάμεις
46, 35 τί δεῖ πρὸς
48, 31 ὠφελήμως
49, 18 ἀποπαιδαγογούμεθα, οἷος τε ὡς
50, 17 νήπιον ὑπάρχον
52, 13 καθωρᾶν
30 ὄφελος
53, 5 διαμένοι
7 τάχει
18 στρόμνην
22 χωρηγία
54, 12 ἠκροτηρίαστο
56, 1 ὡρίσαντος
60, 7 λοιδωρούμενος
19 ἐρωτιόντων
22 δεικνύναι τὸ καὶ
23 τε καὶ καὶ ἄσπ.
61, 20 πρόυργιετέραν
33 παρευδοκη-
62, 39 βοόντων
63, 1 ἄψυχον ἦν
17 ἢ add. L. Holsten.
65, 6 εἶναι post ἀλλήλοις 7
17 ὡς ὑφ' ἑνὸς
24 ἐσβέστη
30 δοχοῦντα
66, 34 ὅρα
68, 34 ἡττώμενον
69, 5 ἐπαπορεῖν
13 ἐλευθερῶσθαι
33 ἀγνοίᾳ ἀνκεγραμμένοι
72, 19 χρησώμεθα
73, 7 θρυλλοῦσι
74, 11 θρυλλοῦσιν
75, 19 βαδίσωμεν
77, 17 ὧν λέγοντες δυσωπ.
78, 15 προσθῆναι
79, 1 ὄντα τὰ ὑπάρχοντα
82, 19 σεμνηνομένης
83, 7 ἐπιχειρίσωμεν
33 εὐδοκημοῦσιν
84, 28 βοόντων
86, 35 ὑδώλων
87, 27 ἀμβλήνοντες
88, 12 σεμνήνεται
90, 39 ῥέει
92, 18 ἀνάσχης
25 ἐδεδείη
28 ἰουδὴθ
93, 17 τοιοῦτον ἔχον μὲν τῆς
31 ἀγαθὸς ἢ μὴ
96, 39 ἀγνωοῦσιν
97, 20 ἀν. κἂν ταῦτα
99, 35 ἀνώδυνον
100, 6 ἐγεγόνοι
37 εἱρμο-
101, 17 ἐμπιμπλῆται
104, 10 μετὰ δὲ θαν.
35 ὡς σωτὴρ οὔτε

104, 39 λέγει
105, 13 σωσθήσεται
13 κτίσματι
34 τῆς ἀπὸ τοῦ
107, 4 [εἰ] suppel. Mai
20 ὑπάρχων
21. 22 ἕνα δόντες· μέρος
23 τοῦτον
108, 28 οἶδεν
109, 39 προσκυνοῦντες
110, 38 ἀναληφθέντα
111, 3. 4 ἀγ. μένοντος τοῦ
8 σαρ. κινήσει
30 τελ. ὧν τὸ πρόσωπον
33 [] suppl. Mai
112, 10 ἀναγινώσκεται
113, 27 σώχθησα
114, 38 γένησιν
115, 2 διαφημῶσιν. corr. Muratorius
14 γῆς λέγωμεν καὶ
116, 8 δοξάζεται
117, 5 φ. τὰς ἀληθεῖς ἃς ὑπὸ
29 γενόμενον suasit Coustant
34 ὄντως
118, 11 τῇ corr. Coustant
120, 39 γὰρ ὁ λόγος ἁγιάζει.
in codice hamburgensi semper δᾱδ, ita ut in ambiguo relictum sit utrum Δαυὶδ an Δαβὶδ scriptum voluerit librarius.

superest ut de paucis quibusdam ad orthographiam pertinentibus dicam. ac primum quidem, Suidae Μάνεντος formari perhibenti ita non credo, ut semper μανέντος ediderim. Manis nomen habemus a veteribus explicatum (Lagarde reliquiae iuris eccles. graec. p. 83. cf. etiam zur urgeschichte der Armenier p. 24, 625), a quo genetivus Μάνεντος nullo modo duci potest.

deinde πάντῃ ἰδίᾳ κοινῇ et quae his similia sunt iota subscripto carere volui, quod in codicibus graecis adscriptum nemo vidit, nisi si qui forte saeculo sexto decimo exarati a communi veterum librorum ratione recesserunt. hi enim ablativi sunt, pro πάντῃτ ἰδίᾳτ κοινῇτ dicti, τ omisso, quod sermonis graeci consuetudo requirit ut in fine vocabulorum abiciatur.

postremo numquam ῤῥ admisi, quod cur a recentioribus editoribus poni non soleat, quum explicatum non viderim, paucis mihi exponendum esse intelligo. ii enim constantem codicum usum sequuti sunt: neque enim ullum umquam librum veterem ῤῥ exhibentem videre me memini. rei ratio (ni fallor) haec est. lingua graeca cum armenica id habet commune, ut initio vocabulorum literam caninam non ferat. ea igitur vocabula, quae apud Indos literam R habent primam, apud Graecos aut vocalem aliquam praemittunt (velut *rudhira* ἐρυθρός) aut R in L mutant (velut *ric* linquere λιπ, *ruc* lucere λευκός). ea autem,

quae apud lexicographos Graecos ante σ in unum agmen coacta habentur, non R habent primam, sed spiritum asperum eumque aut pro W aut pro S positum. ita ῥόδον est *wrodon,* arabice *ward,* ita ῥέω *hrewô,* apud Indos *sru.* iam si huic *hr* vel *wr* syllaba aliqua praeponitur, efficitur ut ρρ scribatur ad significandam diphthongum, cuius consonans prior, quum nota W vel H adhiberi desita sit, nunc indicari non potest. in locum igitur spiritus asperi R altera suffecta est, et iam te intelligere puto quam ineptum sit ῤῥ scribere, id est eodem tempore magistratum et magistratum suffectum habere.

ne quis vero maiora me expetivisse credat, quam quae expetivi, hunc librum me edidisse iterum aio, ut quum ceteris philologis linguae syriacae studiosis gratificarer, tum ipse, si publice Titum Gregorium Iulium laudandos haberem, facilius id facere possem. nam editionem novi testamenti ad versionum orientalium fidem curaturus quum libros graecos in linguas orientales versos legere consueverim, glossarium etiam syrograecum concinnare incepi, quod e didascalia reliquiis analectis Tito a me editis, geoponicis a me edendis, Ignatio Curetonis et Eusebio Leei, ex ipsis denique libris biblicis collectum viris doctis non inutile fere confido.

---

capita Titi facta sunt ad exemplar syriacum, scriptum anno 411 p. Chr. n.: numeri in Gregorii et Iulii libris additi paginas analectorum meorum syriacorum indicant.

Berolini Non. April. 1858.

TITUS. p. 1—69.

Latine e codice vaticano a Fr. Turriano versus: H. Canisii antiqua lectio V p. 31—142. Ingolstad. 1604.
graece ex eodem codice vaticano descriptus in bibliotheca hamburgensi ioannea p. 25—200.
graece ex apographo hamburgensi: I. Basnagii thesaurus monumentorum ecclesiasticorum I p. 56—162 Antverp. 1725.
graece e Basnagio: A. Gallandii bibliotheca vet. patrum V p. 267—345 Venet. 1769.
syriace e codice musei britannici scripto anno 411: ed. P. A. de Lagarde 1859.
germanice versus ab eodem Lagardio edetur in libro: übersetzungen aus dem syrischen.

GREGORIUS THAUMATURGUS. p. 103—113.

ἡ κατὰ μέρος πίστις graece: A. Mai scriptorum veterum nov. collectio VII p. 170—176 Rom. 1833.
syriace: P. Lagardii analecta syriaca p. 31—42 Lipsiae 1858.

IULIUS ROMANUS. p. 114—124.

πρὸς Διονύσιον: L. A. Muratorii anecdota graeca p. 341—346 Patav. 1709: Coustant epistolae roman. pontif. app. p. 62—70 Paris. 1721.
πρὸς Προσδόκιον: Coustant p. 74—79.
περὶ τῆς ἐν χριστῷ ἑνότητος τοῦ σώματος πρὸς τὴν θεότητα: Mai l. l. p. 165—168.
ἐγκύκλιον: ib. p. 168.
πρὸς τοὺς κατὰ τῆς θείας τοῦ λόγου σαρκώσεως ἀγωνιζομένους προφάσει τοῦ ὁμοουσίου: ib. p. 168. 169.
syriace: P. Lagardii analecta syriaca p. 67—79.
de ipso Iulio singulari libello acturus seposui nunc quae a patribus ex Iulii epistolis loca laudata inveni: quae commodius una cum eius generis aliis quae per quinque annorum continuam lectionem repperi me prolaturum inspecto parallelorum rupefucaldinorum codice parisiensi video.

Πᾶσι μὲν οἷς γέγονε διὰ σπουδῆς τῶν ἐν ἀνθρώποις ἁμαρτανομένων τὰς αἰτίας ἐξελεῖν θεοῦ, ὅσιός τε καὶ ἀληθὴς γέγονε κατὰ τοῦτο τῶν τοιούτων ὁ σκοπός, εἴγε μὴ διαφυγόντες τὸ προνοεῖν τῶν καθ' ἡμᾶς τὸν θεὸν εὐλόγως καὶ φιλαλήθως ἀνθρώποις ἀνέθηκαν τὰ σφῶν αὐτῶν ἁμαρτήματα, ἐπείτοιγε μικρὸν 5
ἰᾶσθαί τι βουληθέντες μείζονι καὶ χαλεπῷ νοσήματι τῆς ἀσεβείας περιέπεσον, εἰς ἄρνησιν τῆς ἐν παντὶ φαινομένης τοῦ θεοῦ προνοίας ἐμπεσόντες — ὁ δὲ Μάνης, ἐκ βαρβάρων [ὢν] καὶ τῆς μανίας αὐτῆς ἐπώνυμος, ἔτι πρὸς ἀσέβειαν βλαβερωτέρῳ φαρμάκῳ κατεχρήσατο. κακίας γὰρ ἀναίτιον ἀποδεῖξαι τὸν θεὸν 10
βουληθεὶς κακίαν παρόμοιον ἀντέστησεν αὐτῷ, ἀγένητον (ὥς φησιν) ἀγενήτῳ, ζῶσαν ζῶντι, ἀεὶ μὲν ἐπανισταμένην καὶ μαχομένην καὶ οὔποτε μὴ οὐχὶ πράγματα παρέχουσαν αὐτῷ, ἀναιρεθῆναι δὲ πρὸς αὐτοῦ παντελῶς μὴ δυναμένην ὡς ἀΐδιόν τε καὶ συμπεπληρωμένην τὴν οὐσίαν καὶ ἀγένητον — καὶ καπνὸν (ὥς 15
φασί) φεύγων ἐμπέπτωκεν εἰς τὸ πῦρ. ἵνα γὰρ μὴ τῶν παρ' ἡμῖν ὡς οἴεται κακῶν ὑπέχειν δοκῇ τὰς αἰτίας ὁ θεός, αὐτός γε ὅλης τινὸς καὶ ὁλοκλήρου παρ' αὑτῷ κακίας παραπολαύει. τί γάρ; εἰ μακροθύμως καὶ σοφῶς (ὥς φησι) μεταχειρίζεται, ἀλλ' ὅμως οὐκ ἀπολέμητος ἂν εἴη κατά γε τὴν τοιαύτην ὑπόθεσιν· οὗ τί 20
ἂν γένοιτο τῶν πρεπόντων περὶ θεοῦ λογισμῶν ἀλλοτριώτερον; ὅτι μὲν γὰρ εὐσεβὲς τῶν παρὰ ἀνθρώποις ἀδικημάτων ἀναίτιον παντὶ σθένει τὸν θεὸν ὁμολογεῖν, πρῶτος πρεσβεύειν ἐσπούδακε τῆς καθολικῆς ἐκκλησίας ὁ λόγος· ζητουμένου δὲ τίνα τρόπον πλημμελοῦμεν ἡμεῖς, τοῦ θεοῦ μὴ βουλομένου, οὐ περὶ μειζόνων 25
κατηγοροῦμεν θεοῦ, περὶ μικροτέρων ὥσπερ ἐκεῖνος ἀπολογεῖσθαι βουλόμενοι, ἀλλ' αὐτὴν τῆς ἀληθείας τὴν ὁδὸν ἔκ τε τῶν ἁγίων γραφῶν καὶ τῶν κοινῶν ἐννοιῶν ἔχοντες ἀσφαλῶς ὁδεύομεν πρὸς τὴν τοιαύτην ζήτησιν, τῷ γε ἑαυτοῖς φιλαλήθως προσεγκαλεῖν εὐσεβῆ τὴν ἀπόδειξιν τὴν ὑπὲρ θεοῦ ποιούμενοι. οὐ γὰρ 30

ἵνα τῷ λόγῳ διαφεύγωμεν ὧν εἰς ἀλλήλους πλημμελοῦμεν τὰ ἐγκλήματα, προσῆκεν εἰς θεὸν ἀσεβεῖν, πλαττομένους κατ' αὐτοῦ τὰ πάντων ὑβριστικώτερα καὶ μηδαμῶς ὄντα. πρὸς δὲ τούτοις ἰάσιμα τὰ παρὰ ἀνθρώποις ἁμαρτήματα νομίζοντες (ἅτε δὴ μὴ
5 ὡς ἀπὸ τινὸς ἀρχῆς καθ' ἡμῶν ῥέοντα, ἀλλ' ἕτερόν τινα τρόπον πρὸς ἡμῶν πραττόμενα, ὃν ὁ λόγος σαφῶς κατὰ καιρὸν ἑρμηνεύσει), οὐ μόνον εἰς θεὸν οὐκ ἀσεβοῦμεν, μὴ τολμῶντες αὐτοῦ καταστοχάζεσθαι χαλεπὴν ἀδυναμίαν τοῦ ἀνθεστάναι κακίᾳ τῇ μὴ οὔσῃ, ἀλλὰ καὶ τὰ πραττόμενα πρὸς ἡμῶν κακίας τρόπῳ
10 παύειν ἐπιχειροῦμεν τῷ γε σαφῶς τοῖς προσέχουσιν ἀποδεικνύναι ὡς τὰ πρὸς ἡμῶν [κατ'] ἀλήθειαν ἔχοντα τοῦ γίνεσθαι τὴν ἀρχὴν δι' ἡμῶν ἂν καὶ τέλος τοῦ μὴ γίγνεσθαι λάβοι, εἰ καὶ μὴ παρὰ πᾶσιν. οὐ γὰρ ἐφ' ἑκάστῳ τὸ καθ' ὅλου, ἀλλά γε παρ' ἑκάστῳ τῶν ἐσπουδακότων· δεῖγμα μέντοι τοῦ καθ' ὅλου τὸ
15 ἐφ' ἑκάστου ἐνδεχόμενον. **2.** ὁ μέντοι βαρβαρικὴν ἀσέβειαν ἐπινοήσας, ἄναρχον κακίαν κατὰ τοῦ θεοῦ ἀληθῶς ἀνάρχου καὶ μόνου πλασάμενος καὶ δευτέραν ἀρχὴν ταύτην μανικῶς ὁρισάμενος οὐ μόνον ἐν ἴσῃ τάξει τίθησι κακίαν θεῷ ὥσπερ τιμήσας ταύτην ὁ δῆθεν μισεῖν προελόμενος, ἀλλὰ καὶ ἀνίατα πάντῃ τὰ
20 ἐκ τῆς ἀνάρχου ῥέοντα κακὰ ἐπάναγκες φάσκων, ἀδιόρθωτον παρὰ ἀνθρώποις τὴν ἀδικίαν ἐπιβούλως οἴεσθαι ποιεῖ τοὺς πειθομένους αὐτῷ, ὥστε προλήψει τῆς τῶν ἁμαρτημάτων ἡδονῆς προβάλλεσθαι ἀντὶ τῆς ἐπιστροφῆς τὴν ἀπαγόρευσιν ὡς ἀδύνατον ἀνάρχου κακίας ἐπισχεῖν τὴν φοράν, πλὴν εἰ μή τις ἐπιθυμίᾳ
25 δόξης (τοῦ δοκεῖν τὸ πλέον ἐκ τοῦ ἀγαθοῦ ἔχειν, ὡς δὴ μυθολογοῦσι) σπουδάσας μὲν κατορθώσειεν ὡς οἷόν τε τὸ μὴ ἁμαρτάνειν, ὡς αὐτόθεν ποιῆσαι δῆλον ὡς οὐχ ἑτέρωθεν, ἀλλὰ παρ' αὐτοῦ ἐπλημμέλει, ὅμως δ' ἀπενέγκοιτό τινα δόξαν παρ' αὐτοῖς ὡς τὴν κρᾶσιν εἴη βελτίων τῆς φύσεως, ὁ μὴ φύσει, πόνῳ δὲ
30 καὶ ἱδρῶτι χρώμενος, ὃς δὴ καὶ ἐπαινεῖσθαι οἴοιτ' ἂν τοῦ ἀληθοῦς ἐπαίνου στερούμενος. τὴν γὰρ εὐδοξίαν τοῦ πόνου τῆς ἀρετῆς (εἴ γε τῆς εὐσεβείας τῆς πρὸς θεὸν [ἕνεκεν] ἠνύετο) καταλιμπάνων ἅρπαγμα ψευδῶς τὸ ἀναγκαῖον τῆς φύσεως ἡγεῖται, τὸ χρήσιμον τῆς φιλοπονίας πρὸς ἀσέβειαν κατὰ θεοῦ μετερχό-
35 μενος, ὡς μήτε τὸν ῥᾳστώνῃ προσκείμενον πλήττεσθαι τὸν νοῦν κακοπραγοῦντα, εἴ γε ἄλλῃ τῇ ἀρχῇ λογίζοιτο τὰ πραττόμενα, μήτε τὸν σπουδῇ χρώμενον ἄξιον εἶναι θαυμάζεσθαι, καίτοι λογισμῷ πονοῦντα. **3.** πρὸς τὸ τῶν πάντων χαλεπώτατον πρὸς ἀσέβειαν κατὰ θεοῦ παιδαγωγηθῆναι. μὴ συνιέντες δὲ οἱ ἀπ'

ἐκείνου τῆς τοῦ θεοῦ δημιουργίας τὸν λόγον, οὐ μόνον τῶν ἀνθρώπων τὰς παραλόγους πράξεις ἐξετάσαντες τὸν εἰρημένον τρόπον ἐσφάλησαν, ἀλλὰ καὶ πλεῖστα τῶν δημιουργημάτων, μᾶλλον δὲ σχεδὸν ἅπαντα, ψόγον οὐδένα κατὰ τὸ ἀληθὲς ἐπιδεχόμενα, διέβαλον, κακὰ δὲ ταῦτα προσεῖπον, τῶν μὲν κρᾶσιν τῶν ἐναν- 5 τίων (ὥς φασι), κακοῦ τε καὶ ἀγαθοῦ, καταψευσάμενοι, τῶν δὲ μονοειδῆ κακίαν κατειπόντες, καὶ συνέχεαν (τό γε ἐπ' αὐτοῖς) τὰ πάντα, κακὰ τὰ μηδαμῶς κακὰ προσειπόντες. εἰ μὲν γὰρ τὴν παρὰ ἀνθρώποις ἀδικίαν, μόνην οὖσαν ἀδικίαν, διέβαλον εἰς κακίαν, ἐχρῆν μὲν καὶ οὕτως ἀσφαλίζεσθαι τοὔνομα καὶ 10 τὴν περὶ αὐτῆς δόξαν ὡς ὑπαρχούσης καὶ μὴ ὑπαρχούσης ἔν τε τῷ πράττεσθαι καὶ μὴ πράττεσθαι, ἥκιστα δὲ ἀρχὴν ἐπεισάγειν αὐτὴν κατὰ θεοῦ, ὅμως δ' ἂν αὐτοῖς εὐπερίγραπτον ἦν τὸ σφάλμα· νυνὶ δὲ σχεδὸν ἅπασαν τὴν δημιουργίαν κακίσαντες ὑπέρογκον τὴν βλασφημίαν κατὰ θεοῦ πεποίηνται καὶ παράγουσιν 15 ὡς ὁμολογούμενα τῷ λόγῳ καὶ πάντα τὰ θηρία καὶ τὰ κνώδαλα, οὐκ οἰόμενοι χρῆναι πρὸς ἀγαθοῦ ταῦτα γεγενῆσθαι, οὐκ ἄχρηστα μόνον (ὡς ὑπειλήφασιν) ὄντα, ἀλλὰ καὶ λίαν ἀνθρώποις βλαβερώτατα, καίτοιγε δειχθῆναι δυνάμενα ὡς μᾶλλον ὠφελιμώτερα καὶ χρησιμώτερα τυγχάνει ἤπερ τὰ ὄντως ἀνθρώποις λυσιτελεῖν 20 δοκοῦντα. καὶ πολλὰ μὲν καὶ ἕτερα συνείρουσιν εἰς διαβολὴν τῶν ὄντων καὶ τῆς τῶν ὅλων διοικήσεως, ὁ δὲ λόγος οὐδὲν ἀναπόδεικτον τῶν τε εἰρημένων καὶ ῥηθησομένων καταλιπεῖν πειράσεται. **4.** δύο γὰρ ἐναντίων φύσεων κρᾶσιν ἐν τοῖς οὖσι φανταζόμενοι διανέμουσι ταύταις τὰ ὄντα κατὰ τὸ δοκοῦν αὐ- 25 τοῖς, Πόθεν (λέγοντες) τὰ κακά, εἰ μὴ ἔκ τινος ἀρχῆς καὶ ταῦτα τυγχάνει; εἰ δέ τις ἐρωτήσειε Ποῖα; συνείρουσι τὰ τῶν ἀνθρώπων ἁμαρτήματα καὶ τὰ τοῦ θεοῦ δημιουργήματα καὶ αὐτὴν ὅλην τὴν πάνσοφον οἰκονομίαν κακίζουσιν, ὥς, εἴ τι[ς] δείξειε πάντα καλῶς καὶ ἀναγκαίως γεγονέναι καὶ γίγνεσθαι, οἴχεται 30 αὐτοῖς ἐξ ἀνάγκης ὁ περὶ τῆς ἐναντίας ἀρχῆς λόγος. μὴ γὰρ συνιέντες ὅπως ἔχει τὰ κάτω, ἐπλάσαντο περὶ τὰ ἄνω — μηδὲ καταλαβόντες τίνα τρόπον διάκειται τὰ ὁρώμενα, ἐσυκοφάντησαν τὸ μὴ ὁρώμενον — καὶ γνῶναι σπουδάσαντες, διὰ τὸ μὴ γνῶναι ἀγνοίᾳ μείζονι περιέπεσον. ὡς γὰρ ἐν σκότει τὴν περὶ τῶν 35 φαινομένων ἔννοιαν ζητοῦντες, οὐ μόνον οὐχ εὗρον ὃ ζητεῖν ἐδόκουν, ἀλλὰ καὶ μεῖζον ἑαυτοῖς τὸ σκότος τῆς ἀγνοίας πεποιήκασιν. **5.** ἡμεῖς δὲ πρῶτον περὶ τῶν δύο ἐναντίων ἀρχῶν ἃς ὑποτίθενται διαλαβόντες, οὕτως ἥξωμεν πρὸς τὴν ὑπὲρ τῶν

ὅλων ἀπόδειξιν ὡς καλῶν καὶ ἀναγκαίων ὄντων ἁπάντων καὶ ἐκείνων (ὡς προλαβὼν ἔφην) μάλιστα καθ' ὧνπερ πλείστην [τὴν] καταδρομὴν ποιοῦνται ὡς ὁμολογουμένων κακῶν — ἔτι δὲ καὶ [περὶ] τῆς τῶν ὅλων διοικήσεως καὶ δι' ὧν πικρίαν αὐτῆς
5 ἀγνωμόνως καταψηφίζονται [ὡς] τὰ ἀναγκαιότερα οἰκονομούσης — οὐ μήν, ἀλλὰ καὶ περὶ τῶν παρὰ ἀνθρώποις ἀδικημάτων ὡς οὐδὲ διὰ ταῦτα προσῆκε κακίας ἀρχὴν κατὰ θεοῦ φαντάζεσθαι. δειχθήσεται γὰρ ὡς καὶ ταῦτα τοῦ πεποιηκότος ἡμᾶς ἐμφαίνει τὴν ἀγαθότητα καὶ οὔτε κατὰ βούλησιν αὐτοῦ πρὸς
10 ἀνθρώπων γίγνεται οὔτε ἐκ τινὸς αἰτίας ἢ ἀρχῆς καθ' ἡμῶν φέρεται. τοιγαροῦν λοιπὸν ἐπὶ τὴν ἀρχὴν τῆς μυθώδους ἀσεβείας αὐτῶν ἔλθωμεν, ἐξετάζοντες, εἰ παραδέχονται γοῦν αἱ κατὰ φύσιν ἔννοιαι δύο ἐναντίας ἀρχὰς τῶν ὄντων. εἰ γὰρ μηδὲ συμφωνούσας δέξαιντ' ἄν, ἤπου γε μαχομένας; **6.** γρά-
15 φων τοίνυν ἐκεῖνος αὐτὸς ὁ χαλεπώτατα μανεὶς ἄρχεται πανταχοῦ· ἦν θεὸς καὶ ὕλη, φῶς καὶ σκότος, ἀγαθὸν καὶ κακόν, ἐν τοῖς πᾶσιν ἄκρως ἐναντία ὡς κατὰ μηδὲν ἐπικοινωνεῖν θάτερον θατέρῳ, ἀγένητά τε καὶ ζῶντα ἄμφω. **7.** οὐκοῦν ἢ χωρίσει γε ταῦτα ἀπ' ἀλλήλων ἢ σὺν ἀλλήλοις ὄντα φίλα καὶ οὐδαμῶς
20 ἐναντία φανήσεται. ἀλλὰ δῆλον ὅτι χωρὶς ἀπ' ἀλλήλων καὶ αὐτὸς ταῦτα εἶναί φησιν. ἆρ' οὖν συμπεπερασμένον ἑκάτερον θατέρῳ τὴν οὐσίαν ἔσται καὶ οὐδέτερον ἀπεριόριστον; περιορίζειν δὲ κατ' οὐσίαν τὸν θεὸν καὶ μὴ ἀπέραντον εἰδέναι τε καὶ ὁμολογεῖν πῶς οὐ λίαν ἀσεβές; ὁπότε οὐ μόνον περιορίζεσθαι
25 δόξει τὴν οὐσίαν καὶ περιγράφεσθαι, ἀλλὰ καὶ πρὸς τῆς κακίας (ὡς ἐκεῖνός φησι) τοῦτο πάσχειν· ὅπερ πρῶτον μὲν τῶν κοινῶν ἐννοιῶν ἐκτός, αἵτινες ὑποβάλλουσιν αὐτὸν γινώσκειν εἶναί τε πανταχοῦ καὶ ἀπερίληπτον ὑπάρχειν τὴν φύσιν. **8.** ἔτι μὴν εἰ ταῦτα διέστηκεν ἀναγκαίως ἀλλήλων, οὐ μόνον θεὸς κατὰ
30 τὴν ἐκείνου μανίαν δόξει τὴν φύσιν περιορίζεσθαι, ἀλλὰ καὶ ἐν ἰδίῳ τόπῳ τυγχάνειν καὶ καταμένειν παραπλησίως τῷ ἐναντίῳ. τὰ γὰρ ὑπ' ἀλλήλων εἰργόμενα τόποις ἰδίοις δηλαδὴ περιγράφεται. οὐκοῦν ἐξεταστέον. εἰ μὲν πρεσβύτερα τῶν τόπων ἄμφω τὰ ἐναντία ὡς ἀγένητα, ἦν ὅτε πάλιν πρότερον ἐτύγχανε
35 κοινῇ τῆς ἐναντιότητος ἀπηλλαγμένα. εἰ δὲ συναΐδιος ἑκατέρου τῆς οὐσίας ὁ χωρισμός, προγενέστερος ἑκατέρου τῆς οὐσίας ὁ τόπος ἢ συναγένητος. ἀλλ' εἰ μὲν προγενέστερος, ὡς ἑκατέρου τόπου βλάστημα δοκεῖν εἶναι ἑκάτερον, οὔτ' ἀγένητα ταῦτα οὔτε ἀίδια (ὅπερ ὑπάρχειν δόξει τοῖς τόποις ἐξ ὧν ταῦτα). εἰ

δὲ συναγένητος, ἔσται πλείω καὶ οὐκέτι δύο τὰ ἀγένητα· ἀνάγκη γὰρ ἕτερα τυγχάνειν ἐκεῖνα παρὰ ταῦτα ἐν οἷς ἐστι ταῦτα ὧν ἄνευ οὐδὲ εἶναι δυνήσεται. **9.** πρὸς δὲ τούτοις καὶ μεθόριον ἀμφοτέρων ἀπαιτητέον διεῖργον καὶ διακωλῦον ἑκατέρῳ τὴν πρὸς θάτερον κοινωνίαν, ἵνα μὴ διὰ τῶν τερμάτων αὖθις 5 ἀλλήλοις καταμιγνύμενα τὸν τῆς ἐναντιότητος διαφθείρῃ λόγον. τί τοίνυν ἔσται τὸ διαφράττον καὶ διεῖργον ἄμφω; τρίτου γὰρ τινὸς κατ' οὐσίαν χρείαν ἔχει παρ' αὐτοῖς τῆς μυθολογίας τὸ πλάσμα. ἆρ' οὖν τὸ ἀδαμάντινον τεῖχος ἐροῦσιν ἡμῖν ἤ τι ἕτερον, παραπαίοντες; τῇ τίνος δὲ προνοίᾳ, τοῦθ' ὁπότε φή- 10 σουσι, παρεγκείσεται; ὁποτέρῳ γὰρ τῶν ἐναντίων βουληθεῖεν ἀναθεῖναι τοῦτο ὡς ὕστερόν ποτε παρεμβληθέν, ἄπορος αὐτοῖς ἡ ὑπόθεσις εὑρεθήσεται. πρὸς γὰρ τὸ ἀρχαιότερον ἀναβὰς ὁ λόγος αὖθις φωράσει τὰ ἐναντία ἀλλήλων ἀχώριστα ὡς οὐδαμῶς ἐναντία. εἰ δὲ μηδετέρου προνοίᾳ τὸ μεθόριον ὃ δηλοῦσιν ὑπάρξαι φή- 15 σουσιν, ἕτερον ἀγένητον ἐπεισάγοντες ἐξ ἀνάγκης ὁμολογοῦσι, μηδετέρου τῶν ἐναντίων τῆς οὐσίας μετέχον, ἵνα τῷ πάντῃ διαλλάττειν χωρίζῃ ταῦτα· καὶ εὑρεθήσονται ὄχλον ἀγενήτων τιθέμενοι δύο φήσαντες εἶναι τὰ ἀγένητα. τὸ μέντοι διεῖργον καὶ μεθόριον, εἴτε δὴ τεῖχος εἴτε γῆ ἄοικος εἴτε καὶ ὅπερ ἂν θέλοιεν, ποῦ 20 μὲν ἆρ' ἔχει τὴν ἕδραν; ποῦ δὲ τὴν κορυφήν; ἀλλὰ δῆλον ὡς κάτω μὲν τὴν ἕδραν (ποῦ δὴ καὶ πόσον;), ἄνω δὲ τὴν κορυφήν (ποῦ καὶ ἐπὶ πόσον;). τὸ γὰρ ἄνω καὶ κάτω δημιουργίας ὀνόματα πρὸ δημιουργίας. δεῖ μέντοι καὶ βαθύτερον καὶ ὑψηλότερον εἶναι τὸ μεθόριον τῆς τῶν χωριζομένων οὐσίας, ἵνα μὴ 25 κάτωθεν ἢ ἄνωθεν ἐλλεῖψαν πάροδον τοῖς ἐναντίοις παράσχῃ πρὸς ἄλληλα. **10.** εἰ δὲ σκιᾷ καὶ ἡλίῳ παραβάλλοιεν [ὃ] καλοῦσι μεθόριον, οἰήσονται μὲν ὡς οὐδὲν ἐπικοινωνεῖ τῷ ἡλίῳ ἡ σκιά, διελεγχθήσονται δὲ χαλεπῶς πρὸς τοῦ μανέντος ἠπατημένοι. σκιὰ γὰρ ἡλίου κοινωνίᾳ καὶ δι' ὅλου παρουσίᾳ γένοιτ' 30 ἄν, ὄγκου τινὸς ἀνέχοντος ἐν μέσῳ καὶ πρὸς θάτερον μέρος αὐτὴν [μὴ] παραπέμποντος. καὶ σκιὰ εἴη ἂν οὐδὲν ἕτερον ἢ τεκμήριον φωτὸς διά τινος παρεγκειμένου σώματος ἐμποδιζομένου, ἐπείτοι φωτὸς ἐν νυκτὶ μὴ παρόντος οὐδ' ἂν σκιὰ μερικὴ γένοιτο. ἆρ' οὐχ ὅπη σκιά, ἐκεῖ φῶς; τὰ γὰρ ἐπέκεινα 35 τῆς σκιᾶς φωτὶ καταλάμπεται, πλὴν εἰ μή γε τὸ σκιάζον ὕψει τὸ φωτίζον παμπληθεὶ ὑπερβαίνει· κἂν μὴ τὸ γελοιότατον τεῖχος τῷ παραλόγῳ τεθῇ, φῶς ἐν φωτὶ διαιτωμένη φανήσεται ἡ κακία. πῶς γὰρ ἂν γένοιτο σκιά, τοῦ φωτὸς δι' ὅλου κατὰ τῆς

ὕλης ὄντος, εἰ μή τι ἐν μέσῳ γε ἀνέχον καὶ ἀποκλεῖον δι' ὅλου ποιοῖ αὐτήν; οὗ μὴ παρεγκειμένου καὶ πλεῖστον ὅσον ἀνέχοντος κοινὸν ἀιδίως ἔσται καὶ τῇ κακίᾳ τὸ φῶς. **11.** αὖθις τὸ μεσημβρινὸν μέρος τῇ κακίᾳ διδόντες ὡς ὄναρ τῆς δημιουργίας δια-
5 γράφουσι. ποῦ γὰρ ἦν μεσημβρία πρὸ μεσημβρίας; ἀτιμότερος δὲ τόπος ἄλλος ἄλλου τῆς δημιουργίας οὐκ ἂν γένοιτο. τὸ γὰρ εὐώνυμον ὁρῶντι πρὸς δύσιν δεξιὸν αὖθις εὑρίσκεται πρὸς ἀνατολὰς ἰδόντι. ἀλλὰ πλείστη μὲν ἡ τοῦδε τοῦ βαρβαρικοῦ δόγματος ἀτοπία. δύο γὰρ ὅλως ἀρχαὶ πῶς ἂν εἶεν ἢ κληθεῖεν ἀρχαί;
10 ἀρχὴ γάρ ἐστιν ἥ τε τῶν ὅλων πρεσβυτέρα καὶ τῶν ἁπάντων κρατοῦσα, ὧν οὐδέτερον ὑπάρξειεν ἂν οὐδετέρῳ. σύγχρονα γὰρ ἄμφω καὶ συναγένητα ὄντα τὸν τοῦ προτερεύειν ἀλλήλοις διαφθείρει λόγον. ἀλλὰ καὶ τῆς ἀρχικῆς ἐξουσίας οὐ μόνον ἀλλήλων (ὡς ἐναντία γε) ταῦτα ἐξῃρημένα, ἀλλὰ καὶ φύσει μαχό-
15 μενα πῶς ἂν ἔχειν δι' ὅλου τὸ ἄρχειν νομισθείη; εἰ τοίνυν μηδετέρῳ τούτων διασώζεται τῆς ἀρχῆς ὁ λόγος, πῶς ἂν ἀρχαὶ κληθεῖεν; πῶς δ' ἂν οἱ φυσικοὶ λογισμοὶ παραδέξαιντ' ἂν ὑπάρχειν ἐναντία δύο κατ' οὐσίαν; ὅπου γε πρῶτον μὲν τὸ τῆς οὐσίας ἀμφοτέροις ὄνομα κοινόν. καθ' ὃ τοίνυν πρῶτον ἑκά-
20 τερον οὐσία, δῆλον ὡς ὁμονοοῦντα καὶ οὐκ ἐναντία. ἔπειτα ζῷα ἄμφω, πρὸς δὲ τούτοις ἐπ' ἴσης ἀγένητα· ὧν δὲ τὰ αὐτὰ ὀνόματα καὶ [ἡ] αὐτὴ ὑπογραφή, τούτων πῶς ἡ οὐσία μαχομένη καὶ ἐναντία; καίτοιγε τὰ ὀνόματα τῶν πραγμάτων ἐστὶ σημαντικά. κατηγορεῖ γὰρ ἑκάστου τὸ τί ἐστιν ἕκαστον ὡς ἐνδέχεται. γνω-
25 ρίζομεν τοίνυν ὡς δύναμις τοῖς ὀνόμασι τὰ πράγματα. **12.** ἆρα εἰ ἑκάτερον τῶν παρὰ τῷ μανέντι νομιζομένων ἐναντίων οὐσία ζῶσά τε καὶ ἀγένητος ὀνομάζεται, οὐ δῆλον ὡς, ἐκ βαρβάρων τὴν ἀρχὴν τῆς τοιαύτης λαβούσης πλάνης, διέφθαρται παρ' αὐτοῖς τῶν κοινῶν ἐννοιῶν ἡ ἀκολουθία; ὁλόκληρος γὰρ καὶ ἡ αὐτὴ ἐπ' ἴσης
30 τυγχάνει ἑκατέρου ὑπογραφή, οὐ μόνον ἐναντιότητος πᾶσαν ὑποψίαν ἐξορίζουσα, ἀλλ' οὔτε διαφοράν τινα συγχωροῦσα ἐν τοῖς ὀνομαζομένοις ὑπάρχειν. **13.** φασὶ δὲ τὸ μὲν ἀγαθόν, τὸ δὲ κακόν, τὰς ποιότητας οἱονεὶ πρὸ τῆς οὐσίας ἐκλαμβάνοντες οἱ τῷ μανέντι συντρέχοντες. τῆς γὰρ οὐσίας ὁμοίως ἐφ' ἑκα-
35 τέρου ὀνομαζομένης (οὐσία γὰρ ζῶσά τε καὶ ἀγένητος ἄμφω) περιττὴ λοιπὸν τῆς οἱονεὶ ποιότητος ἡ ἐναντιότης (εἰ γὰρ καὶ μὴ ἁρμόζει ἐπὶ θεοῦ ποιότητα ὀνομάζειν, ἀλλά γε τῇ ἐννοίᾳ τρόπον τινὰ τὸ εἶναι τοῦ τοιόνδε εἶναι προτερεύει. τὸ δὲ εἶναι σημαίνεται τῷ οὐσία ζῶσά τε καὶ ἀγένητος), πλὴν εἰ μὴ ἰδίᾳ

φαῖεν ἐπισυμβῆναι τὰ ἐναντία ἑκατέροις, ὅπερ ἐστὶ πάντων ἀνοητότερον· ἀγενήτῳ γὰρ οὐδὲν ἐπισυμβαίνει· ᾧ γὰρ τὸ εἶναι μὴ ἐπισυνέβη, τούτῳ οὐδὲ τὸ τοιῶσδε εἶναι ὃ μὴ εἴη ἐπισυμβαίνει. ποιοτήτων μὲν οὖν ἐναντιότητα ἔστιν ἐν τοῖς οὖσιν εὑρεῖν, οὐσίας δὲ οὐδαμοῦ. λευκὸν γὰρ πρὸς μέλαν ἐναντίως 5 ἔχει, ἑκάτερον δὲ ἐν σώματι τῇ αὐτοῦ οὐσίᾳ. ἔχει μέντοι αὐτὰ πῇ μὲν ἐναντίως πρὸς ἄλληλα, πῇ δὲ οὐκ ἐναντίως. πρῶτον μὲν γὰρ ὑφ' ἓν γένος ἐστί (χρῶμα γὰρ ἑκάτερα), ἔπειτα εἰ καὶ ἐναντία εἶναι δοκεῖ, ἀλλά γε τῇ ὄψει ποικίλως προσάγει τὴν ἀπόλαυσιν. οὐδέτερον γὰρ αὐτοῖν τῇ ἀσυμμετρίᾳ λυπεῖ ταύτην. 10 ἀλλὰ καὶ ἤδη ἀρετή τε καὶ κακία ἐν ψυχῇ, ὡς ἐναντία μὲν καὶ ταῦτα, οὐ μόνον δὲ ἐν τῇ αὐτῇ οὐσίᾳ, ἀλλὰ καὶ ἐν ἑνὶ γένει προσαγορεύεται (ἕξις γὰρ ἑκατέρα), ἅτινα καὶ ὡς ἐπισυμβαίνοντα ψυχῇ ἐνυπάρχει, ὅθεν καὶ ἀποσυμβαίνειν ἐνδέχεται, τῆς ἐν ᾗ ἐστι ταῦτα ἄλλοτε ἄλλως διακειμένης· ὡς εἶναι δῆλον, ὡς ὁ 15 μὲν περὶ τῆς οὐσίας λόγος ἀφώρισται, ὁ δὲ περὶ τῶν ταύτῃ ἐπισυμβαινόντων ἕτερος τυγχάνει. καίτοι τὸ μὲν λευκόν τε καὶ μέλαν ἔστιν ὅτε καὶ ὡς ἀχώριστα ἐνυπάρχει τοῖς ἐν οἷς ἐστι, καὶ ὅμως οὐδεὶς πώποτε ἀπὸ τούτων ὠνόμακεν ἐκεῖνα, ἐν οἷς ἐστι ταῦτα. οὐδεὶς γὰρ θελήσας γάλα σημῆναι οὐχὶ μᾶλλον πρὸ 20 τοῦ κατὰ τοῦ εἴδους τῆς οὐσίας ὀνόματος κειμένου κατεχρήσατο τὸ τῆς λευκότητος, ἵνα μὴ ἀνθ' ἑνὸς πολλὰ σημαίνειν δόξῃ οἷς πρόσεστιν. ἀλλὰ μὴν καὶ κόρακα οὐ τῷ μέλανι σημαίνομεν, ἀλλὰ τῷ τοῦ ζῴου καὶ τοῦ εἴδους ὀνόματι. αὗται μὲν οὖν καὶ τοιαῦται ἀχώριστοι ποιότητες, ἀρετὴ δὲ καὶ κακία ἐν ψυχῇ τῶν 25 ἐπισυμβαινουσῶν ποιοτήτων εἰσίν, ὡς μᾶλλον προσήκειν μηδαμῶς ἀπὸ τούτων τὴν οὐσίαν δεῖν τὴν ἀνθρώπου κατηγορεῖσθαι, δεῖν δὲ ταύτην ἰδίως σημαίνεσθαι. οὐδεὶς γοῦν τὸ τί ἐστιν ἄνθρωπος ἐκ τῆς ἐνούσης τῷ τινὶ κακίας ἐσήμανεν, ἀλλὰ πρῶτον τῆς οὐσίας τὸ εἶδος εἰπών, εἶτα καὶ τὸ τὶς προσειπὼν ὕστερον 30 κατηγορεῖ τὴν ποιότητα. ποιοτήτων μὲν οὖν (ὃ προλαβὼν εἶπον) εὕροι τις ἂν ἐν τοῖς ὑποβεβηκόσιν ἐναντιότητα τῶν μὲν χωριστῶν, τῶν δὲ καὶ ἀχωρίστων· ἐπὶ δὲ τοῦ θεοῦ πᾶσα μὲν ποιότης ἐκβέβληται, ἐπειδή γε οὐδὲν ὧν καλεῖται ἕτερον παρ' αὐτόν (ἁπλοῦς γὰρ καὶ ἀσύνθετός ἐστιν), ὅμως δὲ τῇ ἐννοίᾳ (ὃ προλα- 35 βόντες εἴπομεν) προτερεύει τὸ εἶναι τοῦ τοιόνδε εἶναι. διό φαμεν ἀναλαβόντες ὡς, εἰ ἑκάτερα, ἅ φησιν εἶναι ἐναντία, οὐσία ζῶσά τε καὶ ἀγένητος (οὐ γὰρ ἀρνηθεῖεν), ἢ ἄμφω ἀγαθά, ἵνα μᾶλλον πρὸς τὸ εὔφημον εὐσεβῶς διὰ τὸ ὄντως ὂν ἀγαθὸν

καὶ τοὐναντίον ὅ φασιν ἕλκηται τὸ μηδαμῶς ὄν· οὐ γὰρ ἀντιστρέφομεν — ἢ ἄμφω κακά. τὸ γὰρ ἀγένητον πάντως ἀγαθόν. αὐτίκα ἀγένητος ὁ θεὸς ὑπάρχων, ἆρα αὐτὸ τὸ μὴ γενηθῆναι ὡς κακὸν ἔχει; οὐδαμῶς, ἀλλ' ὡς ἀγαθὸν δηλαδή.
5 τίς οὖν ἡ ἀποκλήρωσις τοῦτ' αὐτό πρᾶγμά τε καὶ ὄνομα παρὰ μὲν τῷ θεῷ καλόν τε καὶ ἀγαθὸν εἶναι, παρὰ δὲ τῇ κακίᾳ (ὥς φασι) τοὐναντίον, κακόν; γενεᾶς μὲν γὰρ εὑρεθείη ἂν διαφορά, διαφορὰ μέντοι καὶ οὐκ ἐναντιότης — ἀγενησίας δὲ ποίαν τις ἂν εὕροι διαφορὰν ἤπουγε ἐναντιότητα; διόπερ παντάπασιν ἀδύνα-
10 τον ἀγένητον ἀγενήτῳ ἐναντίον εἶναι. εἰ γάρ τι εἴη, οὐδὲν τῶν αὐτῶν ὀφείλει οὔτε εἶναι οὔτε προσαγορεύεσθαι τῷ ἐναντίῳ, ἵνα ἀκοινώνητον ᾖ τοῖς πᾶσι πρὸς τὸ ἐναντίον. εἰ γὰρ μὴ εἴη πάντῃ ἐναντίον, καθὸ ἐπικοινωνεῖ, οὐκ ἐναντίον. ἐναντίον μέντοι τὸ μὴ ὂν τῷ ὄντι· τάχα δὲ οὐδὲ τοῦτο, οὐ γὰρ διαμάχεται.
15 τὸ δὲ ὂν τῷ ὄντι οὐκ ἐναντίον. εἰ δὲ τὸ ὂν τῷ ὄντι πάντως ὁμόλογον, ἓν τὸ καὶ μόνον ἀληθῶς ὂν τοῖς πᾶσι τοῦ εἶναι ἄρχον.
14. φασὶ δὲ καὶ αὐτοὶ χρῆναι πάντα τὰ ἐναντία τῷ θεῷ τὴν ὕλην προσαγορεύεσθαι, οἷον ἐὰν καλῶμεν τὸν θεὸν φῶς, τὸ ἐναντίον σκότος, ἐὰν δὲ ἀγαθόν, ἐκεῖνο κακόν· ἐὰν μέντοι κα-
20 λέσωμεν τὸν θεὸν αὐτοαλήθειαν, δῆλον ὅτι τὸ ἐναντίον ψεῦδος κεκλήσεται. τὸ δὲ ἀληθῶς ὂν (ὡς ὑπειλήφασι) πῶς ἂν εἴη ψεῦδος; τὸ μὲν γὰρ μὴ ὄν, εἰ λέγοιτο εἶναι, ψεῦδος ἂν εἴη· τὸ δὲ ὂν καὶ ἀληθῶς ὄν, αὐτῷ τῷ εἶναι ἀληθεῦον, οὐκ ἂν εἴη ψεῦδος. εἰ γὰρ εἶναι λέγει τις, ἀληθεύει· εἰ δὲ μὴ λέγει ὅτι
25 ἔστιν ἵνα μὴ ἀληθεύσῃ, ἀλλ' οὐδὲ ὅτι οὐκ ἔστιν εἴποι ἂν ἵνα ψεύσηται· κἂν εἴπῃ δὲ ὅτι οὐκ ἔστι, τῇ ἐπινοίᾳ ψεύδεται. οὔκουν αὐτὸ ψεῦδος, ὂν γὰρ ἔστιν ἀληθῶς. **15.** ἔπειτα εἰ καλοῖεν τἀγαθὸν ἀφθαρσίαν, φθορὰν ὀνομάσουσιν τὸ κακόν. τίνος δ' ἂν εἴη φθορὰ ἡ φθορά; τοῦ μὲν γὰρ ἀγαθοῦ ἀδύνατον· εἰ
30 δ' ἑαυτῆς εἴη φθορά, ἐν πολλοῖς τοῖς αἰῶσι διέφθαρκεν ἑαυτὴν καὶ μάτην αὐτὴν εἶναι φαντάζονται. πῶς δ' ἂν εἴη φθορά; πάντως γὰρ ἕτερόν τι φθείρει, οὐχ ἑαυτήν. εἰ δὲ ἑαυτήν, οὐδ' ἂν τὴν ἀρχὴν ὑπέστη. ὀφθήσεται γὰρ ἑαυτὴν φθείρουσα μᾶλλον ἢ οὖσα· φθορὰ γὰρ ἄφθαρτος ἀδύνατον κατά γε τὰς κοινὰς
35 ἐπινοίας ἐπινοηθῆναι. ἄφθαρτον δὲ πάντως τὸ ἀγένητον καὶ ἀΐδιον, ὅθεν καὶ ἀθάνατον. ἐπάνω γὰρ τοῦ ἀφθάρτου τὸ ἀγένητον. εἰ δὲ τὸ μὴ γενέσθαι πώποτε ὑπάρχει τῇ ὕλῃ, μεῖζον ὄν, πῶς οὐχὶ καὶ τὸ ἔλαττον αὐτῇ προσυπάρξει, τὸ μὴ φθαρῆναι; εἰ δὲ μὴ φθείρεται ὡς ἀΐδιος, οὐδ' ἂν ἑαυτῆς ὑπάρχει

φθορὰ καὶ οὐκ ἂν εἴη οὐσία φθορᾶς. **16.** ὅταν μέντοι τοιούτων ἀκούωσι λόγων οἱ ἐκ τοῦ μανέντος ὁρμώμενοι, ἀποροῦντες Πόθεν οὖν (φασί) τὰ κακά; πόθεν δὲ (λέγουσιν) ἡ ἐν τοῖς πράγμασιν ἐμφαινομένη ἀταξία; ἀλλὰ πολλάκις μὲν εἴρηται ὅτι δι' ἄγνοιαν τῆς τῶν πραγμάτων διαθέσεως καὶ τῆς θείας διοικήσεως γνῶσιν ἐσφαλμένην καὶ βλάσφημον ἑαυτοῖς ἐπραγματεύσαντο, δι' ἄγνοιαν ὧν γνῶναι ἔδοξαν, ἃ χεῖρον ἔγνωσαν ἢ ἠγνόουν, καὶ ὃ ἐζήτουν ἀληθέστερον ἀπολέσαντες ἢ πρὶν ζητῆσαι· ὁ δὲ λόγος κατὰ καιρὸν μὲν καὶ τὴν παρ' αὐτοῖς νομιζομένην τῶν πραγμάτων ἀταξίαν εὐταξίαν τὴν ἀνωτάτω, θεοῦ παρέχοντος, ἀποδείξει καὶ τὰ λεγόμενα πρὸς αὐτῶν κακὰ τὰ μὲν ὡς πραττόμενα μόνον, τὰ δὲ κατ' οὐσίαν ἥκιστά γε ὄντα κακὰ δείξει. **17.** ἦν γάρ ποτε (φησίν) ὅτε ἡ ὕλη ἠτάκτει καὶ ἐγέννα καὶ ηὐξάνετο καὶ διετέλει πολλὰς προβαλλομένη δυνάμεις· αὐξηθεῖσα τοίνυν ἀνήγετο, οὐκ εἰδυῖα τοῦ ἀγαθοῦ τὴν ὕπαρξιν· ὡς δὲ ἐπὶ πλέον ἀναχθεῖσα εἶδε τὴν γῆν τε καὶ τὸ φῶς τοῦ ἀγαθοῦ, ἐπιβῆναι τοῖς μὴ ἰδίοις ἐπιχειρεῖ. ὁ δὲ ἀγαθὸς δύναμιν ἀποστέλλει τινά, ᾗ καὶ ὄνομα τὸ δόξαν αὐτῷ ἐπιτίθησι, φυλάξουσαν μὲν δῆθεν τοὺς ὅρους, τὸ δ' ἀληθὲς δέλεαρ ἐσομένην εἰς ἀκούσιον τῇ ὕλῃ σωφρονισμόν· ὃ δὴ καὶ γέγονεν. θεασαμένη γὰρ ἡ ὕλη τὴν ἀποσταλεῖσαν δύναμιν, προσεχίσησε μὲν ὡς ἐρασθεῖσα, ὁρμῇ δὲ πλείονι λαβοῦσα ταύτην κατέπιε καὶ ἐδέθη τρόπον τινὰ ὥσπερ θηρίον. κέχρηνται γὰρ καὶ τῷδε τῷ ὑποδείγματι, ὡς δι' ἐπῳδῆς τῆς ἀποσταλείσης δυνάμεως ἐκοιμίσθη. γέγονε τοίνυν μίξις καὶ κρᾶσις τοῦτον (φησί) τὸν τρόπον τῆς τε καταποθείσης δυνάμεως τοῦ ἀγαθοῦ καὶ τῆς καταπιούσης ὕλης, καὶ οὕτως ἐξ ἀμφοῖν ἐδημιουργήθη τόδε τὸ πᾶν, ὑπὸ τοῦ ἀγαθοῦ δηλαδή· οὐ γὰρ ἂν προὐνόησεν ἡ κακία κόσμου γενέσεως. ἐντεῦθεν δὴ (φασί) τὰ μὲν ἀγαθά, τὰ δὲ κακά, τῆς κράσεως ἐκείνης καὶ τῆς συνόδου τοῖν δυοῖν διὰ τῆς ἐναντιότητος τῶν τῇδε πραγμάτων ἐμφαινομένης. ὁρίζεται δὲ ψυχὴν μὲν ἅπασαν εἶναι τῆς μερίδος τοῦ ἀγαθοῦ, σῶμα δὲ καὶ τὴν σάρκα τῆς ὕλης, πῇ μὲν κατέχουσαν ὡς ἐν εἱρκτῇ τὴν ψυχήν, πῇ δὲ κατεχομένην ὡς θηρίον πρὸς τῆς ἐπῳδῆς. οὕτω μὲν δὴ σοφισάμενος τὴν ὕλην ὁ ἀγαθὸς κόσμου (φησί) γέγονε δημιουργός, οὐκ ἀντιποιηθείς γε τοῦ δημιουργῆσαι αὐτόν (ἀνθίσταται γὰρ αὐτῷ), ἀλλὰ διὰ τὴν ἐπανάστασιν τῆς κακίας, ἣν σωφρονῆσαι διενοήθη. οὐ μέντοι γέγονε δυνατὸν ἐξελεῖν τῆς κακίας τῶν φαινομένων πραγμάτων τὸν ἰόν, ἕπεσθαι δὲ τοῦτον

δεικνύμενον ἐκ τῆς ἀταξίας καὶ τῆς (ὡς ὑπείληφεν) ἀνισότητος τῶν καθ' ἡμᾶς, τοῦτον μὲν πλουτεῖν, τοῦτον δὲ πένεσθαι καὶ τὸν μὲν εὐδοξεῖν, τὸν δὲ ἀδοξεῖν καὶ ὅσα τοιαῦτα. τό τε δὴ σπουδαζόμενόν ἐστι τῷ ἀγαθῷ τὴν ψυχὴν ἐλευθερῶσαι τῆς κα-
5 κίας καὶ ταύτην ἀντλῆσαι τρόπον τινὰ ἐκ τῆς ὕλης· τοῦτο δὲ γίγνεσθαι διὰ τῆς σελήνης αὐξανομένης τε καὶ μειουμένης, ὡς ὁρᾶν δοκοῦμεν ἡμεῖς. τὸ γὰρ ἀληθὲς (φησίν) ὑδρίας τρόπον αὐτὴ πληρουμένη ἐκ τῆς κατεχομένης οὐσίας εἰς τὸ ὁμογενὲς ἀγαθὸν κενοῦται. εἰ γὰρ καὶ μὴ τούτοις γε τοῖς ῥήμασιν, ἀλλά
10 γε ταῦτα βούλεται λέγειν, ἅπερ εὐσχημονέστερον πάνυ γε πρὸς ἡμῶν εἴρηται. πλεῖστον γὰρ ὅσον παρ' αὐτῷ τὸ ἀλλόκοτον ἐν τῇ διηγήσει καὶ τὸ ἀπίθανον. ὅσα μὲν οὖν ἕτερα γραὸς δίκην μυθολογεῖ καὶ γράφει, τῇ Σύρων φωνῇ χρώμενος, ὅπως μὲν ἡ γῆ βαστάζεται, τὸν ποιητικὸν μὴ διαφυγὼν μῦθον, ὅπως δὲ
15 συνίστανται οἱ ὄμβροι, ὡς ἱδρῶτές εἰσι τῶν ἀρχόντων τῆς ὕλης, ταῦτα καὶ τὰ τοιαῦτα τῶν αὐτοῦ παλαισμάτων παρεμπορεύματα περιττὸν ἂν εἴη προφέρειν εἰς ἔλεγχον. χρὴ δὲ ἃ περὶ ἑκάστου παραπαίων γράφει γνώρισμα τοῖς πᾶσιν, ἥκιστά γε ἀνέχεσθαι πρὸς ἀπέραντον φλυαρίαν τὸν λόγον ἐκτείνειν,
20 ὡς ἀρκοῦν αὐτὸ τὸ κεφάλαιον αὐτοῦ τῆς ἀλόγου μανίας διελέγξαντας τῶν ἄλλων καταφρονεῖν. καὶ εἰ μή γε τὸν περὶ προνοίας λόγον συνέβαινε τήνδε τὴν ὑπόθεσιν ἀναγκαίως περιλαμβάνειν, δι' οὗ προσήκει δεῖξαι ὡς ἅπαντα εὖ τε καὶ θείως τεταγμένα τὴν ἄρρητον τοῦ θεοῦ σοφίαν κηρύττει, γέλως ἂν ἦν
25 ἀντιρρήσεως γοῦν τινος ἀξιοῦν τὰ προτεθέντα, ἅπερ ἐκτὸς τῶν κοινῶν ἐννοιῶν συμπεφορημένα αὐτόματον ἔχει παρά γε τοῖς ἐχέφροσι τὸν ἔλεγχον. ἤρκει δέ, οὐκ ἔλαττον δείξαντας ὡς οὐδαμῶς ἂν ὑπάρξαιεν ἀρχαὶ δύο καὶ μάλιστα ἐναντίαι, ἤδη περί τε ἀνθρώπου καὶ τῆς ἄλλης δημιουργίας διαλαβεῖν· ὅμως
30 δὲ τὸ κωλῦον οὐδὲν καὶ τῶν προτεθέντων ἰδεῖν τὸ ἀπίθανον.
18. ἠτάκτει γάρ, φησίν, ἡ ὕλη ποτέ. ποίαν ἀταξίαν; ἆρά γε καθ' ἑαυτὴν οὖσα; ἢ κατὰ τίνος; ἀδικία γὰρ ἅπασα ἑαυτῆς οὐκ ἂν γένοιτο ἀδικία, δεῖται δὲ ἑτέρου τινὸς καθ' οὗ γένοιτ' ἄν. ἡ τοίνυν ἑτέρῳ τινὶ μὴ ἐπικοινωνοῦσα κατὰ τίνος ἠτάκτει; ἢ τίς
35 ὁ λόγος τῆς ἀταξίας αὐτῆς; ἐγέννα μὲν πρῶτον προϊοῦσα καὶ ηὐξάνετο, φησίν. οὐκοῦν ἀιδίως ἡ ἀίδιος ἐγέννα. δυοῖν γὰρ θάτερον· ἢ λογισμῷ τοῦτο πράττουσα κυρία τοῦ βουλήματος ἦν ἢ φύσεως ἀνάγκῃ γεννῶσα οὐκ ἔστιν ὅτε μὴ γεννᾶν ὑπὸ τῆς φύσεως ἠναγκάζετο. ἀλλ' ἀφαιροῦνται μὲν αὐτῆς καὶ λογισμὸν καὶ γνῶσιν,

ἀλόγιστον δὲ φύσιν εἰσάγουσιν. εἰ τοίνυν ἀνάγκῃ φύσεως πρὸς τὰς προβολὰς αἰδίως ἐφέρετο, ὅσον ἄν τις φαίη τυγχάνειν τὸ ἀφ' οὗ κατεσχέθη διάστημα τοῦ αἰῶνος ἕως νῦν, δῆλον ὡς ἔτι τούτου μυριοπλασίους αἰῶνας ἡ ἀγένητος ἐγέννα, καὶ χώραν οὐχ ἕξει τὸ καινοτομεῖν τί τὸ αἴδιον. ἢ γὰρ φύσει καινοτομήσει 5 καὶ οὐδέποτε τῆς καινοτομίας ἐπέπαυτο, εἰ δὴ τοῦτο καινοτομίαν δεῖ καλεῖν, ὡς μηδαμῶς χρονικὴν ἀρχὴν ἔχειν τὴν κατ' αὐτῆς τοῦ ἀγαθοῦ μεταχείρησιν — ἢ λογισμῷ τοῦτο πράττουσα λόγον ἔχει καὶ γνῶσιν, καὶ ἀνατέτραπται τῆς ἀλόγου κακίας ἡ ὑπόθεσις. εἴτε οὖν λογισμῷ εἴτε καὶ ἀλογίστῳ φορᾷ ἐπανίστατο, 10 τίς ὁ λόγος τοὺς ἀπεράντους αἰῶνας ταύτην παρεῖναι πρὸς τὴν τοιαύτην ἐπανάστασιν; ἀφ' οὗ γὰρ κατεσχῆσθαί φησιν αὐτὴν ἕως νῦν, στιγμὴ χρόνου γένοιτ' ἄν, εἰ παραβάλοιτο τοῖς προλαβοῦσιν ἀπείροις αἰῶσι· τὸ μὲν γὰρ ἄρχον καὶ τελειοῦν πεπέρανται, οἱ δὲ παντελῶς ἀπέραντοι αἴδιοί τε καὶ ἀγέννητοι. ἔπειτα 15 εἰ λογισμῷ ἐκακύνετο πρὸς τὴν ἐπανάστασιν, πῶς οὐχὶ καὶ λογισμῷ διεκόπη τὸ ἀδύνατον τῆς ἐπιχειρήσεως; ὡς οὐχ οἷόν τε ὂν ἐπιδραμεῖν ἀηττήτῳ σοφίᾳ; ὅθεν πεφεύγασι προσομολογεῖν αὐτῇ λογισμόν τε καὶ γνῶσιν, ὡς ἂν χώραν ἔχοι τῆς ἐπαναστάσεως τῆς κατὰ θεοῦ τὸ πλάσμα, καὶ ἐπάναγκες ὑπὸ ἀγνοίας 20 καὶ ἀλογίστου φύσεως ἑλκόμενοι οὐκ ἐκδέξεται ἀπείρους καὶ ἀπεράντους αἰῶνας ἑαυτὴν ὁπλίζουσα καὶ δυνάμει περιβάλλουσα, ὡς γενέσθαι πρὸς τὴν τόλμαν προχειροτέραν. εἰ γὰρ δὴ καὶ πλείων ἐγίγνετο οἷς ἐγέννα, ἀλλ' οὔ τι γε τὴν ὁρμὴν τῆς φύσεως ηὐξάνετο οὐδὲ προσελάμβανέ τι ταύτης τὸ φυσικὸν κίνημα 25 οὐδ' ἂν ἐδέξατο πρῶτόν γε αὐξηθῆναι καὶ οὕτως ἐπαναστῆναι· τοῦτο γὰρ λογικῆς φύσεως προθέσει πονηρευομένης. πῶς δὲ καὶ αὔξησις τῆς κακίας γένοιτ' ἂν ἡ προσθήκη τῶν προβολῶν; εἰ γὰρ οἷς γεννᾷ τελειοῦται εἰς κακίαν, ἀτελὴς ἦν ἡ κακία καὶ οὐκ ἦν ἐν ἀκρότητι κακίας· εἰ δὲ τέλεια καὶ ἄκρα κατὰ τὸν 30 ἴδιον λόγον ἑκάτερα τἀναντία, οὐδαμῶς αὐξάνεσθαι δόξει ἡ κακία διὰ τῶν προβολῶν οὐδὲ θαρσαλεωτέρα γενήσεται, λογικὴ μὴ οὖσα, οὐδὲ πρὸς ἐπικουρίαν ἑαυτῆς παραλήψεται· δόξει γὰρ πρὸ τῆς τεκνώσεως ἀτελὴς γεγονέναι οὐ μόνον πρὸς κακίαν ἡ κακία, ἀλλὰ καὶ πρὸς ἰσχὺν καὶ ῥώμην, ὅπερ ἀλλότριον ἀγεννήτου. 35

19. τὸν δὲ τρόπον τῆς ἐπαναστάσεως εἰσηγούμενος ταύτης, φησίν· ἤλαυνον καὶ κατήσθιον οἱ ἐξ αὐτῆς ἀλλήλους, δεινὰ καὶ χαλεπὰ διατιθέντες· καὶ οὐ πρότερον ἐπαύσαντο ἀλλήλοις ἐπανιστάμενοι, αὐτῇ λέξει φησί, μέχρι οὗ τὸ φῶς ὀψέ ποτε ἐφώ-

ρασαν. διωκόμενοι γὰρ ἀπ' ἀλλήλων, ἀγνοοῦντες μέν, ὅμως δὲ τετολμήκασι καὶ μέχρι τοῦ φωτὸς ἀναχθῆναι. καὶ τί δὴ τούτων ἀπιθανώτερον ἢ μυθωδέστερον; τοὺς μίαν μὲν ἐπιγραφομένους μητέρα, συγγενείᾳ δὲ φύσεως ἡνωμένους ἀλλήλοις
5 ἐπιφύεσθαι μάτην καὶ ἀλλήλων τὰ μέλη κατεσθίειν καὶ μηδέποτε λήγειν τοῦτο δρῶντας; ὅπερ εἰ καὶ ἀληθὲς ἦν, βέλτιον ἦν αὐτοὺς ὑφ' ἑαυτῶν ἀναλίσκεσθαι καὶ μάτην ὁ ἀνόητος ἀταξίαν καλεῖ τὸ συμφέρον· ταύτης γὰρ μάλιστα τῆς κακίας ὁρίζεται τὴν πρὸ κόσμου ἀταξίαν, ἣν ὥσπερ λυπούμενος τῆς ὕλης οὕ-
10 τως ὀνομάζει, ὅτι μὴ προσηκόντως ὑφ' ἑαυτῆς ἀνηλίσκετο. καὶ ὥσπερ τις φίλος ταύτης ἀδημονῶν ἐφ' οἷς ἑαυτὴν κατέβλαπτεν, ἀταξίαν καλεῖ, ἃ συμφερόντως καθ' ἑαυτῆς ἔδρα, δέον εὐταξίαν τὴν ἀνωτάτω καλέσαι τὸ φθείρεσθαί γε ὑφ' ἑαυτοῦ τὸ κακόν. **20.** ὁ δέ, ἠτάκτουν, φησί, καὶ ἠδίκουν ἀλλήλους, τὸ
15 φῶς δὲ ἰδόντες ἐπαύσαντο. οὐκοῦν ἐπεβούλευσε τῷ συμφέροντι τὸ φῶς, εἴγε τοὺς κακοὺς ἀλλήλων ἐρρύσατο καὶ ὥσπερ φάρμακον ἰατροῦ εὐηργέτησε τοὺς νοσοῦντας. οὐκ ἦν δὲ πρὸς ἀγαθοῦ φείσασθαι τοῦ κακοῦ εἰς τὸ διαμένειν καὶ σώζεσθαι καὶ μὴ ὑφ' ἑαυτοῦ ἀναλίσκεσθαι· εἰ γὰρ ὑφ' ἑαυτοῦ δαπανᾶσθαι
20 τοῦτο διεκώλυσεν, ἄντικρυς αὐτὸς διετήρησεν αὐτό· καὶ εἴη ἂν ἀληθέστερον τοῦτο ἀταξία, ὅ φησι τὴν ἀταξίαν πεπαυκέναι. **21.** ὅτε τοίνυν (αὐτῇ λέξει φησὶν ἡ παρ' αὐτοῖς βίβλος) πρὸς ἀλλήλους στασιάζοντες ἐπεπόλασαν καὶ μέχρι τῶν μεθορίων, καὶ τὸ φῶς εἶδον, θέαμά τι κάλλιστον καὶ εὐπρεπέστατον, τότε ὑπὸ
25 τῆς ἐν αὐτοῖς κινήσεως ἐνθουσιῶντες κατὰ τοῦ φωτὸς ἐβουλεύσαντο, τί δὴ ποιήσαντες δύναιντο ἂν αὐτοὺς τῷ κρείττονι συγκεράσαι. τοῦτο δὲ λογίσασθαι οὐχ οἷοί τε ἦσαν, ἀλλ' ἐπιθυμίᾳ τοῦ κρείττονος ἴδιον θήραμα νομίσαντες αὐτοῖς ἔσεσθαι, πολλοὶ ὄντες ἐπεστρατεύσαντο. λανθάνει δὴ τοῖς τῆς κακίας
30 υἱοῖς τὰ πάντων κάλλιστα προ[σ]μαρτυρῶν· εἰ γὰρ τὸ κάλλιστον καὶ εὐπρεπέστατον ἐρασμίως εἶδον καὶ ἐπιθυμήσαντες θήραμα ἴδιον ἐνόμισαν αὐτό, δῆλον ὡς ὀρθοί γε ἦσαν τὴν ὑπόληψιν, ὥστε καὶ βουλεύονται οἱ λόγου μὴ μετέχοντες, ὅπως ἂν ἑαυτοὺς ἐγκεράσαιεν τῷ φωτί. καὶ φθόνου λοιπὸν ἦν τὸ μὴ ἀνεῖναι
35 τούτοις τοῦ ἀγαθοῦ τὴν ἀπόλαυσιν. οὐχ ἕστηκε γὰρ τοῦ μανέντος ὁ λόγος· εἰ γὰρ κατ' ἀλλήλων ἐμαίνοντο, καὶ ἔδει γε αὐτοὺς καταλιπεῖν ὑπ' ἀλλήλων φθείρεσθαι· εἰ δὲ ἐπεθύμησαν ὡς ἀστεῖοι τοῦ φωτός, καὶ προσῆκον ἦν αὐτοῖς ἐπιτρέψαι τούτου τὴν ἀπόλαυσιν (ἀστεία γὰρ καὶ ἐπαινετὴ κατὰ φύσιν πάν-

τως ἡ τοῦ ἀγαθοῦ ἐπιθυμία), οὗπερ ἀπολαύειν μὲν μὴ ἠδύναντο (ὥς γε ὁ τὰ τοῦ μανέντος συγγράφων φησὶν „ἐπιθυμοῦντες"), διαφθείρειν δὲ οὐχ οἷοί τε ἦσαν· τοιοῦτο γὰρ πάντως τὸ ἀγαθὸν οἷον μήτε δαπανᾶσθαι μήτε ἄλλως ἐπιβουλεύεσθαι πρὸς τῶν μετεχόντων αὐτοῦ. **22.** ἐπεστράτευσαν δὲ ὁμοῦ πάντες. 5 τίνα τρόπον, μὴ εἰδότες τὸν ἀνθιστάμενον; φησὶ γὰρ αὐτὸ τὸ γράμμα, ἀφ' οὗ τὰ παρὰ τοῦ μανέντος παρεθήκαμεν, ὡς οὐδ' ὅτι θεὸς ἐν φωτὶ διῃτᾶτο ἐγίνωσκον οὐδ' ὅτι τολμήσαντες κατὰ τοῦ οἰκητηρίου τοῦ θεοῦ οὐκ ἔμελλον ἀθῷοί ποτε ἀπαλλαγῆναι. εἰ τοίνυν μὴ ᾔδεσαν τὸ κωλῦον ἐναντίον, ἄλογον πάντῃ τὸ 10 ἐπιστρατεύειν ἐφ' οἷς οὐκ ᾔδεσαν κωλυόμενοι. ὁπλίζεσθαι γὰρ εἰκὸς ἦν αὐτούς, ὥς φησί, πυρὶ καὶ σκότῳ, εἰ προῄδεσαν τῶν ἀλλοτρίων εἰργόμενοι. ἐπεὶ δὲ παντελῶς ἠγνόουν, οὐκ ἀπιθάνου μόνον, ἀλλὰ καὶ σαφῶς μαχομένου λόγου ὅπλισίν τε καὶ στρατιὰν διαγράφειν, κατὰ μηδενὸς παντελῶς ἐναντιοῦσθαι προ- 15 σδοκωμένου. οὐχ ἧττον δὲ ἐναντίον καὶ τὸ πῇ μὲν ἐπιθυμίαν πρὸς τὸ φῶς ἐκείνοις γενέσθαι λέγειν, πῇ δὲ παρασκευῇ πολεμικῇ κατ' αὐτοῦ κεχρῆσθαι τούτους ὁμολογεῖν. ὅπλον γὰρ πάντως πολεμικὸν κατὰ τοῦ ἀνθισταμένου προβάλλεται πολέμιος ἅπας, οὐ καθ' οὗ ἔχει τὴν ἐπιθυμίαν ἐπάθλου. εἰ τοίνυν 20 μὴ ἦν κατὰ τὴν αὐτῶν ἄγνοιαν ὁ ἀνθιστάμενος, πῶς οὐκ ἐναντίον τὸ ἐπιθυμεῖν τῷ πολεμεῖν; πῶς δὲ οὐχὶ λίαν κἀκεῖνο μαχόμενον, εἴγε οἱ μηδέποτε συμφωνήσαντες ἐν τοῖς κατὰ φύσιν ἀλλήλοις συνέπνεον; ὁμοῦ γάρ, φησί, κατὰ τοῦ φωτὸς ἐβουλεύσαντο. οἱ γὰρ τὰ ἀλλήλων μέλη τρεφόμενοι καὶ μηδέποτε 25 τῆς κατ' ἀλλήλων μανίας παυσάμενοι πῶς ἐν τοῖς παρὰ φύσιν εἰς ἐπιθυμίαν ἅμα καὶ ὀργὴν κατὰ τοῦ κρείττονος συνεφώνησαν; εἰ δὲ ὤνησεν αὐτοὺς ἡ θέα τοῦ φωτός, πῶς οὐκ ἔδει γε πρὸς ἀγαθοῦ πρὸς τελείαν αὐτοὺς τῆς φύσεως μεταβολὴν ξεναγωγηθῆναι τῇ ἐπιτροπῇ τῆς ἐντελοῦς τοῦ κρείττονος ἀπολαύσεως; 30 πῶς δὲ ὤνησεν ἡ θέα τοῦ φανέντος φωτὸς στρατευσαμένους, οἷς τὴν μανίαν οὐκέτι κατ' ἀλλήλων δεόντως ἐνεργεῖν τοῦτο συνεχώρησε, καθ' ἑαυτοῦ δὲ παρὰ τὸ δέον ἔτρεψεν. ἀλλὰ πολὺ μὲν ἐν τούτοις τοῖς πλάσμασι τὸ ληρῶδες, ταῦτα δὲ καὶ ἄλλως ἀσύγγνωστα δειχθείη. γῆν γὰρ ὀνομάζουσι τοῦ ἀγαθοῦ. ποίαν 35 δὲ ταύτην πρὸ τῆς δημιουργίας; προλαμβάνει δὴ παρ' αὐτοῖς τὰ ὀνόματα τῶν πραγμάτων τὴν γένεσιν. πρὶν γὰρ ὁμολογῆσαι τὸν θεὸν πεποιηκέναι, λέγει εἶναι ὁ χαλεπώτατα μανεὶς τὸ μηδέπω γεγενημένον. γῆ γὰρ εἰ μὲν ἐγένετο, ἦν. εἰ δὲ μὴ γενο-

μένη ὑπῆρχε, συναγένητος ἦν τῷ θεῷ. γῆς δὲ τίνα χρείαν εἶχεν ὁ θεὸς γῇ μὴ κεχρημένος; ἀναλογίστως γῆν θεοῦ ὀνομάζει, πρὶν ταύτην εἰπεῖν γεγονέναι. οὐδὲ γὰρ οἷόν τε ἦν πρὸ δημιουργίας μαρτυρῆσαι ταύτῃ τὸ γενέσθαι. **23.** ἔπειτα θεοῦ μέν ἐστι
5 φῶς αἰσθητὸν δημιούργημα, αὐτὸς δὲ φῶς ἂν εἴη νοητόν, οὐκ αἰσθητόν. εἶδεν οὖν ἡ κακία, φησί, τὸ φῶς τοῦ ἀγαθοῦ. εἰ μὲν τὸ αἰσθητὸν φῶς, οὔπω κόσμος οὔτε γένεσις κόσμου· πῶς εἶδε τὸ μηδέπω γεγενημένον; τοῦ γὰρ κεχρημένου μήπω τυγχάνοντος ἀνθρώπου, τίνι χρήσιμον ἦν τὸ φῶς; συγγενῆ γὰρ
10 τῷ κεχρημένῳ τὰ χρήσιμα· οὐ γὰρ δὴ θεῷ χρήσιμον ἦν, ἀπηλλαγμένῳ πάσης αἰσθητῆς μετουσίας. εἰ δὲ αὐτὸν τὸν θεόν, ὅσπερ ἐστὶ νοερὸν φῶς, πάντως ὁμοιώματι φύσεως εἶδε τὸ ὅμοιον· ἀνάγκη τοίνυν αἰσθητὸν φῶς αὐτὴν ἑωρακέναι· αἰσθητὸν δὲ πρὸ τῶν αἰσθητῶν τίνος χάριν ὑπῆρχε; πῶς δὲ ὅμως σκότος ὁρᾷ
15 φῶς; εἰ γὰρ ἐθεάσατο φῶς, οὐκ ἂν εἴη σκότος· πολλὴν γὰρ ἔχει τὴν κοινωνίαν ἡ αἴσθησις πρὸς τὸ αἰσθητόν· φυσικὴ γὰρ ἡ ἐπιβολὴ δι' ὁμοιότητα τῆς ὄψεως πρὸς τὸ φαινόμενον· αὐτίκα ἀναμάσσεται ἅμα τούτου τὸν χαρακτῆρα διὰ τὴν ἔννομον τῆς φύσεως κοινωνίαν· σῶμα μὲν γὰρ σῶμα ὁρᾷ, ὅμοιον δὲ τῷ
20 ὁμοίῳ ἐπιβάλλει καὶ οὐκ ἔνεστι τὸ κρεῖττον καὶ ἀναβεβηκὸς τῇ φύσει, καίτοιγε οὐκ ἐναντίως ἔχον, πλὴν ὅτι γε ἀσώματον τῷ ὑποβεβηκότι, ἅτε δὴ σωματικῷ, πάντως οὐχ ὁρατόν. ἆρά γε τὸ ἐναντίον τῷ ἐναντίῳ εἴγε ἐστὶν ἀόρατον, οὐκοῦν συγγενῆ καὶ φίλα καὶ οὐδαμῶς ἐναντία. ἀλλὰ πλῆρες ὀλέθρου [τοῦ] βαρ-
25 βάρου τὸ πλάσμα· φησὶ γὰρ οὐ μόνον Εἶδεν ἡ ὕλη, ἀλλὰ καὶ Ἐπιβῆναι ἐβουλεύετο, ὥσπερ τινὰ σπουδὴν τιθέμενος ταύτην εἰς ἀπόδειξιν τῆς πρὸς τὸ φῶς κοινωνίας· τάχα καὶ μετέγνωσαν οἱ ἐξ αὐτῆς ὅτι ἐν ἀπλέτοις αἰῶσι τοῖς προλαβοῦσιν ἀπείρατοι ἐγεγόνεισαν τοῦ φωτός. καὶ τίνα τρόπον σκότος μεταποιεῖται
30 φωτός; ἢ τίνος χάριν ἐπελθεῖν τούτῳ γε βούλεται; ἆρα γε ἵνα τὴν φύσιν μεταβάληται καὶ γένηται φῶς; ἢ ἵνα τραφῇ φωτί, ἐναντίαν τῆς φύσεως τροφήν; ἀλλ' ἀγνοοῦσα ἐπιβῆναι ἤθελε· καίτοι εἰ μὲν ἔγνω, λόγον εἶχε τὸ μεταποιηθῆναι· οὖσαν δὲ φύσει κακίαν καὶ ἀγνοοῦσαν ἀνατροπὴ παντελὴς τῆς ὑποθέσεως
35 τὸ μὴ καὶ φυγεῖν τὸ ἐναντίον. **24.** τὸ δὲ δὴ μεῖζον εἰς ἀλογίαν, ἀποσταλεῖσαν δύναμιν τοῦ ἀγαθοῦ, οὐκέτι φῶς αἰσθητὸν ἀλλ' ὡς ἂν φαίη προβολὴν τοῦ θεοῦ θεασαμένη, προσκισσᾷ μὲν ὡς ἐρῶσα, ὁρμᾷ δὲ καὶ καταπίνει καὶ ταῖς ἰδίαις δυνάμεσι διανέμει. ᾗ δὲ καὶ θεάσασθαι τὸ ἐκ τῆς φύσεως τοῦ ἀγαθοῦ

πεμφθὲν ἀδύνατον ἦν, ταύτῃ δυνατόν φησι γεγονέναι καὶ κατα-
κισῖν τοῦτο· ἐπὶ πλέον γὰρ τῷ αὐτῷ χρήσομαι λόγῳ, ὡς εἰ καὶ
μόνον εἶδε τὸ ἐκ τῆς οὐσίας τοῦ θεοῦ προβεβλημένον, ἑτέρου
τινὸς οὐκ ἂν δεοίμεθα λόγου πρὸς ἀνατροπὴν τοῦ πλάσματος.
εἶδε γὰρ πάντως ὡς ὁμοία τὸ ὅμοιον· τὸ γὰρ πάντη κατὰ φύσιν 5
ἐναντίον καὶ πρὸς ἄκραν ἐναντιότητα κεχωρηκὸς οὔτ' ἂν ἴδοι
τὸ ἐναντίον οὔτ' ἂν προσεγγίσειεν αὐτῷ, ἐπειδὴ διαφθείρεται
τῆς ἐναντιότητος ὁ λόγος παντελῶς, εἰ καὶ μόνον ἴδοι. τοῦτο
δὲ προστίθησι τῶν εἰρημένων ἀτοπώτερον, ἰσχυρῶς ἑαυτῷ μα-
χόμενος, ἵνα μηδεὶς ἕτερος δεηθῇ πρὸς αὐτὸν εἰπεῖν. φησὶ γάρ, 10
ἠράσθη τῆς φανείσης δυνάμεως, ὥσπερ ἐπιλησθεῖσα παντελῶς
τῆς ἰδίας φύσεως· οὐ μὲν δὴ ἐκείνη γε ἡ μὴ οὖσα, ἀλλ' οὗ-
τοί γε τῶν ἰδίων πλασμάτων. εἰ γὰρ πρὶν ἐπαναστῆναι ταύτην·
φασὶ γνῶσιν τοῦ ἀγαθοῦ μὴ ἐσχηκέναι, ἵνα μὴ σεμνύνωσιν
ἀγαθοῦ γνώσει τὴν παρ' αὐτοῦ φύσιν διαβεβλημένην, πῶς οὐκ 15
ἄλογον τὴν μὴ ἔχουσαν ἐν αὐτῇ τὸ εἰδέναι ὅτι ἔστι τἀγαθόν,
ταύτην καὶ ἰδεῖν δυνηθῆναι καὶ θεασαμένην ἐπιθυμῆσαι; μεῖζον
γὰρ ἀσυγκρίτως τοῦ γνῶναι ὅτι ἔστι τὸ θεάσασθαι ὄψει τὴν
οὐσίαν. αὐτίκα οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ τῶν ἀγγέλων αἱ
ἀναβεβηκυῖαι δυνάμεις, ὅτι μὲν ἔστι τἀγαθὸν γινώσκομεν, τῇ 20
γνώσει καὶ μόνῃ πρὸς τὴν εὐσέβειαν τρεφόμενοι, ἀγγέλων δη-
λαδὴ ἀναβεβηκότων κατὰ τὴν γνῶσιν ὅσον καὶ κατὰ φύσιν· τοῦ
δὲ θεοῦ κατ' οὐσίαν ἰδεῖν οὐθ' ἡμῖν οὔτε ἐκείνοις μετόν·
ὅπου ἡμῖν οὐδ' ἀγγέλους αὐτούς, ἐν ὅσῳ τὸ κατὰ φύσιν περι-
κείμεθα σῶμα, δυνατὸν ἰδεῖν. δῆλον γὰρ καὶ σαφῶς ὁμολο- 25
γούμενον ὡς ὁ τὶ βλέπων ὅμοιον ἑαυτῷ ὂν τοῦτο βλέπει. εἰ
δέ τις ἀπαιδεύτως οἰηθείη σαθρὸν εἶναι τὸ ῥηθέν (ἐμβλέπομεν
γὰρ ἥλιον καὶ σελήνην καὶ ἀστέρας, ἔτι μὴν ὑφ' ἡμᾶς λίθους
χρυσόν τε καὶ ἄργυρον καὶ συνόλως τήν τε θάλασσαν καὶ τὰ
ζῷα σύμπαντα, καὶ οὐ δήπου τούτοις ὅμοιοί ἐσμεν), μανθανέτω 30
ὡς εἰ καὶ διάφορα τὰ εἴδη τῶν κατηριθμημένων, ἀλλά γε τούτων
ἁπάντων ἀναβεβηκὸς γένος τὸ σῶμα. τῆς γὰρ οὐσίας τὸ μὲν
ἀόρατον ὡς ἀσώματον, τὸ δὲ ὁρατὸν ὡς σῶμα. ἡ τοίνυν
πρώτη τομὴ πάντα τὰ ταῦτα ὡς ἂν γένος ἀφορίζει. σῶμα τοί-
νυν σῶμα βλέπει, καὶ καθ' ὃ σῶμα, ὅμοιον καὶ συγγενὲς τὸ ὁρῶν 35
τῷ ὁρωμένῳ, εἰ καὶ διάφορα τούτων τὰ εἴδη διὰ τὸ ποικίλον
καὶ κόσμιον τὸ παντί. ἐπείτοι γέλως ἂν εἴη χρυσοῦ τε τὸ
ἄνθος, ἐπειδή γε κάλλιστον τῇ ὄψει φαίνεται, καὶ αἰθάλης τὸ
ἀνανθὲς μὴ ἑκάτερον (ὅπερ καὶ ὄντως ἐστὶ) καλεῖσθαι χρῶμα·

χρῶμα γάρ, εἰ καὶ διάφορον, ἑκάτερον· ὄψις γὰρ ἡ αὐτὴ ὁμοίως ἑκατέρῳ κοινωνεῖ. οὕτω δὴ πάντα τὰ σώματα ὁρατά, εἰ καὶ διάφορα τῷ εἴδει φάσκομεν· εἰ δὲ σώματα σωμάτων κρείττω, τὸ κωλῦον οὐδέν, πλήν γε σώματα πάντα· ὅθεν οὐδὲ
5 προσκυνητὸν μάλιστα τῷ ὁρῶντι τὸ ὁρατόν, ὡς καταλαμβανόμενον πρὸς αὐτοῦ. εἰ τοίνυν εἶδε τὸ ἐκ τῆς οὐσίας ἡ ὕλη τοῦ θεοῦ, συγγενείᾳ πλείστῃ τε καὶ ὁμοιότητι πρὸς τὴν θέαν ἦλθε καὶ οὐδὲν πλέον ἐχρῆν πρὸς τὸν ἀσύστατον τουτονὶ μῦθον εἰπεῖν· εἰ δὲ καὶ ἐπεθύμησε τοῦ φανέντος, τὸ πάντων ἄριστον
10 αὐτῇ προσεμαρτύρησεν ὁ ἀνόητος, ὡς κακίαν μὲν ὄνομα τεθεικέναι δοκεῖν, οὐσίαν δὲ ἀγαθὴν προσομολογῆσαι· τί γὰρ εἰς ἀπόδειξιν καλοκαγαθίας μεῖζον τοῦ ἐπιθυμῆσαι τἀγαθοῦ; **25.** εἰ δὲ (φησί) καὶ ἐπελάβετο καὶ κατέπιεν, ὡς ἐγκύμων γενέσθαι τῆς ἐναντίας τοῦ θεοῦ οὐσίας, καὶ ταῖς ἰδίαις δυνάμεσι
15 διένειμεν — ὢ τῆς ἀλόγου μανίας. οὐκ εἶδε μόνον ἀλλὰ καὶ ἐπεθύμησε, καὶ οὐκ ἐπεθύμησε μόνον ἀλλὰ καὶ κατέπιε, καὶ οὐ κατέπιε μόνον ἀλλὰ καὶ κατέχει. ταῦτα πάντα σαφῶς οὐ τὴν ἐναντιότητα τῆς φύσεως ὁρίζει, ἄκραν δὲ καὶ τὴν ἀνωτάτω συγγένειαν ἀμφοῖν ὁμολογεῖ. εἴτε γὰρ ἀγανακτοῦσα (ὅπερ λο-
20 γισμοῦ δεῖγμα τυγχάνει) εἴτε καὶ ἐπιθυμοῦσα κατέπιε τὸ φανέν, φύσεως ἄντικρυς κοινωνία ταῦτα γένοιτ᾽ ἄν· εἰ γὰρ ἄκρως ὑπῆρχεν ἐναντία, συνῆλθεν οὐδαμῶς ἂν ἑκάτερα. **26.** οὐ συνεῖδε δὲ πρὸς τοῖς ἄλλοις ὁ βάρβαρος οὐδὲ τοῦτο, ὅτι ἡ ἀποσταλεῖσα παρὰ τοῦ θεοῦ δύναμις, εἰ μὲν ἀσώματος ἦν, τομὴν
25 οὐδεμίαν παρεδέξατο ἄν, ὡς μηδαμῶς καταδιαιρεθῆναι δύνασθαι κατ᾽ οὐσίαν εἰς τὰς ἐναντίας δυνάμεις μήτε μὴν καταποθῆναι· τὸ γὰρ ἀσώματον τίνα ἂν καταποθείη τρόπον; εἰ δὲ σωματική, πᾶν σῶμα κατατεμνόμενον καὶ κατακερματιζόμενον ἀναιρεῖται τρόπον τινὰ καὶ ζῆν οὐκέτι δύναται τὴν ἰδίαν ζωήν. τοιγαροῦν
30 ἢ ἀσώματος ἦν ἡ ἀποσταλεῖσα παρὰ τοῦ ἀγαθοῦ δύναμις καὶ οὐδαμῶς οὔτε κατεπόθη οὔτε εἰς πολλοὺς διῃρέθη (καὶ πέπαυται καὶ οὕτω παντελῶς ὁ μῦθος) ἢ σωματική τις ἐτύγχανε καὶ ἀνῄρηται πάντῃ καὶ ἀπόλωλε πρὸς τῆς κακίας, ὅπερ ἐστὶ χαλεπώτερον εἰς ὕβριν τοῦ ἀγαθοῦ, μᾶλλον δὲ ἰσχυρότερον εἰς ἀνα-
35 σκευὴν τοῦ μύθου· σῶμα γὰρ καθ᾽ ἑαυτὸ διαιρεθὲν καὶ διασκορπισθὲν (νοῦς γὰρ οὐ διαιρεῖται) ποίαν ἔχει τὴν ἰσχύν, ὥστε ὑποτάττειν τὴν κακίαν τὸ τοσαύτην γε βλάβην καὶ ὕβριν εἰς τὴν ἰδίαν φύσιν ὑπομεῖναν, ὡς ἠφανίσθαι καὶ ἀπολωλέναι δοκεῖν· τοῦτο γὰρ ἴδιον σώματος κατατεμνομένου. **27.** τὸ δὲ δὴ παρα-

λογώτερον, εἰ θελήσας θεὸς γῆν ἐξελέσθαι τῆς κακίας, τὸ ἐκ τῆς ἰδίας φύσεως γυμνὸν προσήκατο εἰς ὕβριν χαλεπὴν καὶ διαφθορὰν αὐτῆς γε τῆς οὐσίας τοσοῦτον αἰῶνα καθεζόμενον κακίᾳ συνοικῆσον καὶ μεθέξον αὐτῆς καὶ συναμαρτῆσον αὐτῇ· ὅπερ μίαν γοῦν ὥραν ἢ χρόνου στιγμὴν παθεῖν τὴν οὐσίαν τοῦ 5 θεοῦ, ὡς ὑποταγῆναι κακίᾳ καὶ ταύτῃ συναμαρτῆσαι, καὶ πάντων ἀλογώτερον ἂν εἴη. καὶ πόσῳ δὴ βέλτιον ἦν γῆν παραδοθῆναι καὶ μὴ τὴν οὐσίαν τοῦ θεοῦ καταληφθῆναι; εἰ γὰρ οὐκ ἀνεκτὴ πρὸς ἀταξίαν τῆς ὕλης ἡ κατὰ γῆς ἔφοδος, πόσῳ μᾶλλον ἀφόρητος ἡ τοσαύτη δουλεία καὶ ὑποταγὴ τῆς τοῦ θεοῦ φύσεως; 10 καὶ οὐ πρὸς τὸ βραχύτατον, ἀλλὰ πρὸς ὅλον καὶ ἄπλετον αἰῶνα· ὡς τὴν μὲν κακίαν τοῦ ἁμαρτεῖν μὴ πεπαῦσθαι, θεὸν δὲ συναμαρτάνειν αὐτῇ διὰ τῆς ἐξ αὐτοῦ προβεβλημένης δυνάμεως· ὅθεν εἰκὸς οὐδὲ θεὸν πρὸς τὸ συνεξαμαρτάνειν ἐθελῆσαι πέμψαι τῇ κακίᾳ τὸ ἐκ τῆς οὐσίας αὐτοῦ προβεβλημένον οὔτ' ἐκεῖνο 15 πεισθῆναί τε καὶ ὑπακοῦσαι πρὸς τοσοῦτον ὄλεθρον ἀφικέσθαι, ὥστε πάσης ἀνομίας τε καὶ ἀδικίας ἅμα καὶ δυσσεβείας ἐμπλησθῆναι ὑπὲρ τοῦ γῆν (οὐ τὴν ἤδη ληφθεῖσαν, ἀλλὰ τὴν καταλαμβάνεσθαι μέλλουσαν) ἐλευθερωθῆναι· ὡς οὐχ οἷόν τε ὂν ἑτέρως ταύτης τὸν θεὸν προστῆναι. **28.** ὅρα ὅσην ἀδυναμίαν κατα- 20 ψεύδεται τοῦ θεοῦ σαφῶς ὁ κατὰ τοῦ θεοῦ μανείς, ὥσπερ κτημάτων ὀρφανοῦ τινος προϊστάμενος, οὗ τὴν ἀσθένειαν ἐπάναγκες ὁμολογῆσαι, ἵνα τὰ τῆς συνηγορίας πληρωθῇ. ὡς γὰρ τοὐναντίον τὴν οὐδαμῶς ὑφεστηκυῖαν κακίαν πρεσβεύων, πάντα μὲν αὐτὴν κατὰ θεοῦ δεδρακέναι λέγει, ἐπαναστῆναι, ἐπιβῆναι 25 τοῖς αὐτοῦ θελῆσαι, τέλος τὸ πάντων κατὰ θεοῦ χαλεπώτερον, τῆς οὐσίας αὐτοῦ ἐγκρατῆ σύμπαντα τὸν αἰῶνα γενέσθαι, καὶ κατατεμεῖν ταύτην (ὡς οὐκ ἐνδέχεται) εἰς ἄπειρα τμήματα, ἀποπνίγειν τε καὶ ἀποθλίβειν ἐν ἑαυτῇ καὶ συμμέτοχον ἑαυτῆς ἐν πάσῃ κακοπραγίᾳ καὶ ἀπολασίᾳ ἔχειν· θεὸν δὲ μὴ δυνηθῆναι 30 μήτε τὸν ἴδιον τόπον ἕτερόν τινα τρόπον δραστηρίως ἐξελέσθαι μήτε τὸ ἀναμάρτητον γοῦν ἑαυτῷ πρεπόντως τῇ φύσει τηρῆσαι. ἃ γὰρ τὸ ἐξ αὐτοῦ προβεβλημένον κατ' οὐσίαν τῇ ὕλῃ συναδικεῖ, ἄντικρυς εἰς αὐτὸν ἀνατρέχει τὸν προβεβλημένον. οὕτω δὴ πᾶσαν δυναστείαν κατὰ θεοῦ τῇ κακίᾳ προσμαρτυρῶν, θεὸν 35 δὲ τὰ πάντων ἀνήκεστα πρὸς αὐτῆς πεπονθέναι λέγει **29.** καὶ τολμῶν ἐπάγει ὅτι δὴ κατεκοίμησε τὴν ὕλην ἡ ἀποσταλεῖσα τοῦ θεοῦ δύναμις ὡς τὸ θηρίον ἐπῳδή, οὐ μόνον ἀπιθάνως τὰ ἄκρως ἐναντία τῷ λόγῳ κιρνῶν καὶ τὰ μηδαμῶς κατὰ φύσιν

ἐνδεχόμενα τῷ ἰδίῳ πλάσματι χαριζόμενος, ἀλλὰ καὶ τοὐναντίον ἢ βούλεται καὶ ἐνταῦθα κατασκευάζων (ἐξ ἀμφοῖν μὲν γὰρ τούτοιν φησὶ θεὸν δημιουργῆσαι τόδε τὸ πᾶν, τοῦ δὲ ἀνθρώπου εἶναι μὲν τὸ σῶμα τῆς κακίας, εἶναι δὲ τὴν ψυχὴν τοῦ ἀγαθοῦ,
5 εἴτε μονοειδῆ εἴτε συγκειμένην ἐκ τῶν ἐναντίων), καὶ ταύτῃ, ὡς ἑκάτερον μικρὸν ὕστερον δείξομεν, σύστασιν οὐδεμίαν ἔχον. σῶμα μέντοι καθ' ἑαυτὸ οὐδὲν τῶν κακῶν οὔτ' ἐπινοεῖ οὔτε δρᾷ· οὔτε γὰρ φονεύει οὔτε μοιχεύει οὔτε λῃστεύει οὔτε ἄλλο τι τῶν ἀδικημάτων ἐργάζεται, ψυχῆς αὐτῷ μὴ παρούσης· καί-
10 τοι τούτων καὶ τῶν τοιούτων ἕνεκεν ἐπινενόηται τῷ μανέντι τῆς ἐναντίας ἀρχῆς ἡ ὑπόστασις καὶ τῶν ἐναντίων ἡ κρᾶσις, ὡς ἂν τὸ αἴτιον αὐτῶν εὑρεθείη. εἰ δὲ ἡ κρᾶσις τῆς ψυχῆς τοῦ ἀγαθοῦ πρὸς τὸ σῶμα τοῦ κακοῦ τῶν ἀδικημάτων ἀνθρώποις παρέσχε τὰς ἀφορμάς (καθ' ἑαυτὸ γὰρ οὐ πλημμελεῖ σῶμα),
15 βέλτιον ἦν μὴ συγκραθῆναι τὴν πεπλασμένην τοῦ ἀγαθοῦ δύναμιν τῇ μὴ οὔσῃ κακίᾳ. οὐ γὰρ ἂν τῶν κατὰ ἀνθρώπους ἁμαρτημάτων οὐδὲν ἐπολιτεύετο οὐδ' ἂν ὑπῆρχεν ὅλως. ποῖος γὰρ ἦν ὁ φόνος, τοῦ φονευομένου μὴ ὄντος, εἴγε μὴ διὰ τῆς τῶν ἐναντίων κράσεως κατὰ τὸν γελοιότατον λόγον ἐγεγόνει
20 κόσμος; ποία δ' ἂν μοιχεία, τοῦ σώματος μὴ ὄντος μήτε καθ' ἑαυτὸ γοῦν ἐπιθυμοῦντος, εἰ μὴ ψυχὴ ἡ τοῦ ἀγαθοῦ κατεπέμφθη; δυοῖν γὰρ θάτερον· ἢ τοῦ ἀγαθοῦ οἰκονομίᾳ χρὴ φάσκειν συνελθεῖν τἀναντία, ἵνα γένηται ὡς πρὸς ἀγαθοῦ κόσμος· καὶ ὅλως αὐτὸς αἴτιος ἂν εἴη τῶν ἐν ἀνθρώποις κακῶν, εἴγε
25 ἑκὼν τῇ κακίᾳ προσεχρήσατο κατὰ τῶν γενησομένων — ἢ ἐβιάσθη πρὸς τῆς κακίας καὶ ἤδη τὰ νικητήρια κατὰ τοῦ ἀγαθοῦ ἀπενήνεκται ἡ κακία. ποῖος γὰρ ἦν (αὖθις λέγω) φόνος, εἰ μήτε ἄνθρωπος ἦν μήτε ξίφος μήτε ἄλλο τι τῶν φονικῶν ἐργαλείων, εἰ μὴ διὰ τῆς συνόδου τῶν ἐναντίων κατεσκευάσθη
30 ὁ κόσμος; ἡ γὰρ ὕλη καθ' ἑαυτήν, εἰ καὶ πρὸς ἀλλήλους οἱ ἐξ αὐτῆς ἐστασίαζον, φόνον μὲν οὐχ ᾔδει· οὐ γὰρ εἶχε θνητόν, ὃν φονεύοι. μοιχείαν ἠγνόει· οὐ γὰρ κατεγγυήσεις γάμων παρ' αὐτῇ ἐπολιτεύοντο. οὐ μὴν οὐδ' ἐσυκοφαντεῖτο· οὐδὲ γὰρ ὅλως τὸ κρίνειν εἶχεν, ἄλογος οὖσα. φιλαργυρίας δέ, τῶν κακῶν τῆς
35 ῥίζης, καὶ φιλοδοξίας οὐδὲ ἕως προσηγορίας ἐμέμνητο· ἡ γὰρ φιλαργυρία παρ' ἀνθρώποις διὰ τὴν χρείαν, ἧς ἠλευθέρωτό γε ἐκείνη· καὶ ἡ φιλοδοξία λογισμοῦ πάθος, ἧς οὐ μετεῖχεν, ἀλόγιστος οὖσα. γαστριμαργία τε καὶ πορνεία καὶ ἀρρενοφθορία παρ' αὐτῇ χώραν οὐχ εἶχε. καὶ συνόλως πάντα τὰ κακά, ἃ

παρὰ ἀνθρώποις ἀναφαίνεται, οὐδαμῶς εἶχεν ἡ ὕλη πρὸ κόσμου, ὥστε οὐκ ἐπεδήθη τῇ συγκράσει, ἀλλὰ τοὐναντίον κατὰ τὴν ἀνόητον αὐτὴν ὑπόθεσιν, ὥσπερ ἵππος πεδίου λαβομένη, διαθέει πρὸς τὴν ἀδικίαν τῶν κακῶν φερομένη· ἃ γὰρ μηδαμῶς ὑπῆρχε πρὸ κόσμου κακά, ταῦτα ἀφ' οὗ κόσμος ἐν κόσμῳ ἐμπολιτεύε- 5 ται. κἂν γὰρ θείη τις κατὰ τὸν ἐκείνου λόγον στασιάσαι καὶ μανῆναι κατ' ἀλλήλων τοὺς τῆς ὕλης καὶ μυρία ἀλλήλους διαθεῖναι κακὰ καὶ κατὰ τοῦ φωτὸς στρατεῦσαι, οὐ μέντοι τὸν κατάλογον τῶν κατηριθμημένων ἀνθρωπίνων κακῶν ἐκείνοις ὑπάρξαι φαντασθήσεται, ἐπειδή γε οὐδὲ ἐνεδέχετο τὰ ἀνθρώ- 10 πινα κακὰ πρὶν ἄνθρωπον γενέσθαι πράττεσθαι. καὶ ποῦ ἂν ὁ φάσκων εἴη, ὡς ἐσωφρονίσθη πεδηθεῖσα ἡ κακία, ἡ πρὶν μὲν πεδηθῆναι τῶν κατὰ ἀνθρώπους κακῶν οὐδὲ μεμνημένη, μετὰ δὲ τὸ πεδηθῆναι ἐπὶ τούτοις διαβαλλομένη; τί γὰρ ἔβλαπτε τἀγαθὸν καθ' ἑαυτὴν ἀτακτοῦσα καὶ μὴ ἔχουσα ᾧ τὴν ἀταξίαν 15 προστρίψηται; τρέψαι μὲν γὰρ τἀγαθὸν οὐδαμῶς οἵα τε ἦν. εἰ δὲ ἐπιβαίνειν ἐπεχείρει τοῖς μὴ ἰδίοις τόποις, ἑτέρως αὐτὴν ἐχρῆν ἀναστεῖλαι τῆς ἀλόγου φορᾶς· ἡ γὰρ καθ' ἑαυτῆς πρότερον ἀβλαβῆ τὴν ἀταξίαν ἐνδεικνυμένη νῦν γε δοκεῖ προσειληφέναι τι ἕτερον, καθ' οὗ ὡς συνόντος τὴν ἀταξίαν βλαβερωτέραν 20 ἐνδείξεται. αὐτίκα καὶ ἄνθρωποι καθ' ἑαυτοὺς κακοῦργοι βουλήσονται μέν τι κακὸν δρᾶν, μὴ ἔχοντες δὲ καθ' οὗ δράσαιεν ἀργοὶ ἂν ἀποδειχθεῖεν, ἀλλήλους δ' ἂν ἴδοιεν εὐνοϊκῶς συμφωνίᾳ τῇ περὶ τὸ κακόν. ἡ δὲ ὕλη οὔτε ἠβούλετο, οὐδὲ γὰρ ἐβουλεύετο ἄλογος οὖσα, οὔτε ἐδύνατο, μόνη καὶ καθ' ἑαυτὴν οὖσα. 25 **30.** ἆρ' οὖν ἡ καλουμένη πρὸς τοῦ μανέντος ὕλη διὰ τῆς ψυχῆς ὕλην ἀληθεστέραν πρὸς τοῦ ἀγαθοῦ κινδυνεύειν προσειληφέναι δοκεῖ εἰς ἐνέργειαν κακίας, ἣν ἠγνόει· ἐνεκαλεῖτο γὰρ πρὸ κόσμου ἀταξίαν ἄδηλον ἡμῖν καὶ μὴ φαινομένην, ἔμαθε δὲ ἐνεργεῖν δῆλα καὶ φαινόμενα κακά. διύπνησεν ἄρα τὸ θηρίον 30 ἡ ἐπῳδὴ καὶ οὐδαμῶς κατ' ἐκεῖνον ἐκοίμισεν. **31.** εἰ δὲ λέγοι „οὐκ ἤθελεν ὁ θεὸς γενέσθαι κόσμον", ἐρωτητέον Καὶ τίς ἦν ὁ βουλόμενος; ἆρα ἡ κακία ἡ μὴ ἐγνωκυῖα; τίς δέ ἐστιν ὁ κατασκευάσας ἐξ ἀμφοῖν τὰ ὄντα; ἡ ὕλη; οὐκοῦν θαυμασία τὴν ἐνέργειαν. ἀλλ' ἄρα θεὸς οὐκ ἤθελε μέν, ἠναγκάζετο δέ; 35 οὐκοῦν ὑπετάγη μᾶλλον ἢ ὑπέταξε. καὶ περιττὸν κἀκεῖνο θαυμάζειν, τἀγαθοῦ τὴν σοφίαν βιασθεῖσαν εἰς τὴν βλάβην τῶν γενησομένων· ἃ γὰρ οὐδαμῶς ἦν κακὰ πρὶν συνελθεῖν τἀναντία οὔτε μὴν ὄνομα γοῦν αὐτῶν ἐπολιτεύετο, ταῦτα μετὰ κόσμου

γένεσιν ἤνθησεν. καὶ πῶς οὐκ ἄτοπον φάσκειν βουλόμενον τὸν θεὸν ἀταξίαν τὴν ἡμῖν γε ἀναπόδεικτον τῆς ὕλης παῦσαι, ἀταξίας ἀποδεικνυμένων κακῶν καὶ φαινομένων ἀνθρώποις παραίτιον γένεσθαι; τὴν μὲν γὰρ ἀταξίαν, ἣν κατεψηφίζετο τῆς ὕλης,
5 λόγῳ μόνον παράγειν, οὐ μὴν καὶ δεῖξαι τοῖς ἔργοις δεδόνηται, τὰ δὲ κακὰ τὰ ἀπὸ τῆς μυθώδους καὶ μὴ ἐνδεχομένης τῶν ἐναντίων κράσεως ὀφθαλμοῖς ὁρῶν ὁ ἀνόητος οὐ καταδύεται· ὥστε βουλόμενος τὸν θεὸν ἀναίτιον τῆς κατὰ ἀνθρώπους ἀδικίας ἀποφῆναι, αἰτιώτατον αὐτὸν ἄντικρυς ὁμολογεῖ πλέον ἢ
10 τοῦτο καὶ μόνον ἐσπούδαζε. **32.** φέρε δὴ τὰ πραττόμενα κακὰ πρὸς ἀνθρώπων κατίδωμεν τίνι προσῆκε φιλαλήθως. ἐπιχειρήσει μὲν γὰρ ἴσως καὶ τῆς ψυχῆς κρᾶσιν εἰσηγήσασθαι τῶν (ὡς ὑπείληφεν) ἐναντίων· εἴτε δὲ αὐτὴ μονοειδὴς ὑπάρχει ἐκ τἀγαθοῦ παρ' αὐτῷ εἴτε καὶ ἐκ συνθέσεως τῶν ἐναντίων, ἐκ
15 τῆς μερίδος τοὐναντίου τοῦ ἀγαθοῦ ῥᾳδίως ἀποδειχθήσεται κατὰ τὴν ἀσεβῆ ταύτην ὑπόθεσιν τὰ κακὰ γινόμενα· ἔστι μὲν οὖν ἀσώματος ἡ ψυχὴ καὶ μηδαμῶς σύνθεσιν κατ' οὐσίαν καὶ μάλιστα ἐναντίων ἀποδεχομένη· οἱ γὰρ ἐκ διαφόρων συντιθέναι δόξαντες αὐτὴν οὐ τὴν οὐσίαν ποικίλην καὶ πρὸς ἑαυτὴν δια-
20 φερομένην εἰσηγήσαντο, ἀλλὰ τὰς ἐνεργείας αὐτῆς ἐκ τῶν ὁρωμένων ὑπέγραψαν, ἕνα λόγον ἁπλοῦν καὶ περιληπτικὸν αὐτῆς ποιήσασθαι μὴ δυνηθέντες. εἰ γὰρ καὶ ταῖς διαφόραις ποιότησιν, ἃς ἐπιδέχεται, ἄλλοτε ἄλλως διαφέρεται πρὸς ἑαυτήν, ὅμως κατ' οὐσίαν ἔργον ὑπάρχουσα τοῦ θεοῦ ἀμετάβλητός τε ἐστὶ
25 καὶ οὐκ ἐκ διαφόρων σύγκειται, ἐναντίων μέντοι κράσεων τοσοῦτον ἀφέστηκεν, ὅσον καὶ τοῦ καθ' ἑαυτὴν σῶμα εἶναι δοκεῖν. θῶμεν δὲ κατὰ τὴν ἐκείνου ψευδολογίαν (εἴγε καὶ τοῦτο λέγειν ἐπιχειροίη), ὡς καὶ ἡ ψυχὴ τοῦ ἀνθρώπου συνέστηκεν ἐξ ἀγαθοῦ καὶ κακοῦ· οὐχὶ τὸ μὲν λογιστικὸν αὐτῆς κατ' ἐκεῖνον
30 ἀναθετέον τῷ ἀγαθῷ, τὸ δ' ἀλόγιστον εἴη τῇ κακίᾳ; δῆλον ὡς οὐδὲν ἂν ἕτερον εἰπεῖν ἔχοι. τῆς τοίνυν ἐπιθυμίας κινουμένης σφαλερῶς εἴτε ἐκ μόνου τοῦ σώματος εἴτε καὶ ἐκ τοῦ προσήκοντος τῇ κακίᾳ μέρους τῆς ψυχῆς, ἆρ' αὐτόματος πρόεισιν ἡ πρᾶξις; οὐχὶ δὲ φθάνει μὲν ἐν ἀνθρώπῳ σκέψις καὶ βουλή,
35 ἔπειτα κρίσις καὶ αἵρεσις τῆς πράξεως, καὶ οὕτως εἰς ἔργον ἡ ἐπιθυμία προφέρεται; ἔ[γ]κλημα δὲ κακίας ἐκ τῆς πράξεως, οὐκ ἐκ τῆς ἐπιθυμίας γίγνεται, ὡς εἰ μείνειεν ἐπὶ χώρας ἡ ἐνθύμησις τῆς ἐπιθυμίας, εἰς ἔργον τῇ αἱρέσει τοῦ λογισμοῦ μὴ προιοῦσα, πρῶτον μὲν ἂν ἁρπα[σ]θείη θᾶττον, ἐξαπτομένη τε ἅμα καὶ σβεν-

νομένη, ἔπειτα οὐδαμῶς ἂν ἔγκλημα νομισθείη οὐ μόνον κοινόν, ἀλλ' οὐδὲ κατὰ τὸ ἄκρον τῆς ἀρετῆς εἰ κρίνοιτο. φαίνεται τοίνυν τῷ λογικῷ τῆς ψυχῆς εὐλόγως ἀνατιθέμενα τὰ ἁμαρτήματα καὶ οὔτε τῷ σώματι οὔτε ἄλλῳ μέρει τινὶ ταύτης, ὡς τὴν μὲν ἀλόγιστον κακίαν ἀπηλλάχθαι τῆς αἰτίας τῶν παρ' ἡμῖν κακῶν 5 ἅτε μηδὲ ὑπάρχουσαν, κινδυνεύειν δὲ κατὰ τὸν ἐκείνου λόγον ἐκ τῆς μερίδος τἀγαθοῦ ταῦτα προφέρεσθαι, εἴ γε μὴ ἑτέρῳ χρησαίμεθα φιλαλήθει λόγῳ. εἰ μὲν γὰρ μὴ διαγινώσκουσα τὴν ποιότητα τῆς ἐπιθυμίας, ἐπὶ τὴν πρᾶξιν ἀλογίστως ἐχώρει ἡ ψυχή, διισχυρίσαιτ' ἄν τις ὡς ἐκ τοῦ ἀλογίστου μέρους φέ- 10 ρεται τὰ παραλόγως πραττόμενα· εἰ δὲ πολλάκις αὐτὸς ὁ λογισμὸς πῇ μὲν αἱρεῖται ὡς ὑποκατακλινόμενος ἑκὼν ἀγωγῇ φαύλῃ τὴν ἐπιθυμίαν, πῇ δὲ παραιτεῖται πάλιν, ὅταν φόβος αὐτὸν ὅστις οὖν ἀναστείλῃ ἢ ἐπιθυμία γοῦν ἀρετῆς ἀνθελκούσης πρὸς ἑαυτήν, δῆλον ὡς ὁ λογισμός ἐστιν ὁ μόνος οἰκειούμενος 15 τὰ καλῶς τε καὶ ὡς ἑτέρως πραττόμενα, καὶ πρὸς τοὐναντίον ἐνταῦθα χωρεῖ τῶν ἀποδεικνυμένων τῷ μανέντι κακῶς ἡ ἐξέτασις. οὐδὲν γὰρ τῆς ὕλης (ὡς ἔοικε[ν]) ἐν τοῖς καθ' ἡμᾶς ἁμάρτημα, ἀλλὰ τῆς ψυχῆς (ἢ τοῦ ταύτης λογιστικοῦ), ἢ τῇ τοῦ ἀγαθοῦ μοίρᾳ προσῆκε κατ' ἐκεῖνον. **33.** πρὸς δὲ τούτοις, εἰ 20 τοῖς σωφροσύνην ἀσκοῦσιν ἀκίνητον συνέβαινεν εἶναι τὴν ἕξιν πρὸς ἐπιθυμίαν, ἀπήλλαξεν ἄν τις παρὰ τοῖς ἀκολασταίνουσι τῶν ἐγκλημάτων τὸν λογισμόν, ὡς τῆς ἐπιθυμίας τὸ ὅλον ἀποφερομένης τῶν πραττομένων, ἣν ἂν ἐκεῖνος ἐκ τῆς τοῦ κακοῦ μερίδος φαίη τυγχάνειν. εἰ δέ γε μάλιστα παρὰ τοῖς σωφροσύνης 25 ἀντιποιουμένοις ταύτῃ τὸ ἀσκητικὸν εὕροι τις ἄν, ὅτι λογισμῷ τῆς φύσεως κωλύουσι τὰς ἐπιθυμίας, σαφῶς ἀποδείκνυται ὡς ὁ λογισμός ἐστιν ὁ πλημμελῶν τε καὶ κατορθῶν, ὁ ἑκάτερα εἰδώς, ἀρετήν τε καὶ κακίαν. **34.** διὰ τί μέντοι ἔμφυτος ἡμῖν τῶν ἁμαρτημάτων ἡ ἐπιθυμία, κατὰ καιρὸν ἐροῦμεν, ἀποδεικνύν- 30 τες γε τοῦτο μάλιστα συντείνειν εἰς θαῦμα τοῦ δημιουργήσαντος. τὸ νῦν δὲ ζητούμενον εἴγε μὴ αὐτάρκως ἀποδέδεικται ὡς οὐδαμῶς ὕλης τινὸς ἢ κακίας ἐστὶν ἔργον τὰ ἡμέτερα πλημμελήματα, τοὐναντίον δὲ μόνου τοῦ λογισμοῦ, ἔνεστι γὰρ καὶ ἑτέρως συστῆναι τῷ λεγομένῳ. ἆρα μή τι ἄλλο φήσειεν εἶναι φόνον ἢ 35 κακόν; πορνείαν τε καὶ μοιχείαν, κλοπήν τε καὶ ψεῦδος; δῆλον ὡς ἔσται μάλιστα κακία. τί οὖν; ἐὰν ὁ δικαστὴς ἀναιρῇ τὸν ἠδικηκότα φονεύσας, φόνος ἆρα νομισθείη; καίτοι τὸ ἔργον ταὐτὸν τοῦ πρὸς βίαν φονεύοντος καὶ τοῦ νόμῳ ἀναιροῦντος, ὁ δὲ

σκοπὸς διΐστησι τὸ πραττόμενον. ἀλλὰ καὶ μὴν ἡ αὐτὴ πρᾶξις πρὸς τὴν ἰδίαν τε καὶ ἀλλοτρίαν τῷ ἀνδρὶ τῆς κοινωνίας, ὁ δὲ λογισμὸς χωρίζει τῷ σκοπῷ τὰ παραπλησίως γινόμενα. ἔτι μὴν τὸ κλέψαι παρὰ τοῦ μανέντος τὰ πρὸς ἐπιβουλὴν αὐτῷ
5 παρακείμενα ἢ ἐργαλεῖα ἢ ὄψα, πῶς οὐκ ἂν δόξειε ταὐτόν γε εἶναι τὸ ἔργον κλοπῇ τῇ διαβεβλημένῃ; οὐ μέντοι ταὐτὸν τῷ λογισμῷ, ἀλλὰ πάντη διάφορον. πρὸς δὲ τούτοις εἰ ἀπαιτοίη μανεὶς ἄνθρωπος ξίφος, ὅπερ παρέθετο νήφων, ὡς ἀναγκαῖον εἶναι τῷ ὑποδεξαμένῳ ψεύσασθαι μὴ εἰληφέναι, κατὰ τί ἂν δια-
10 φέροι τοῖς ῥήμασι τὸ ψεῦδος πρὸς τὴν ὄντως ἀγνωμοσύνην, εἰ μὴ τῷ σκοπῷ διακρίνοιτο τῶν ἰσχυριζομένων; δῆλον τοιγαροῦν ἐκ τούτων ὡς οὐδὲ ἡ πρᾶξις ὡς ἐπὶ πολὺ καθ' ἑαυτὴν δοκιμάζεται, ἀλλ' ἡ διάνοια καὶ ὁ λογισμὸς τοῦ μετιόντος. εὕροι γὰρ ἄν τις καὶ ἐν τοῖς ἀναιτίοις τὸν αὐτὸν λόγον. εἰ γὰρ μεταδοίη
15 τις χρημάτων ἢ τροφῆς τῷ πενομένῳ οὐχ ἐκεῖνον φιλανθρωπευόμενος, τὸν δὲ παρὰ τῶν ὁρώντων ἔπαινον θηρώμενος, πῶς οὐ δῆλον ὡς τὸ μὲν ἔργον κάλ[λ]ιστον καὶ φιλάνθρωπον, ὁ δὲ σκοπὸς λίαν ταπεινὸς καὶ διαβεβλημένος; εἰ δέ τις καὶ προσεύχοιτο μακρὰ καὶ νηστεύοι πυκνά, ἀνθρώποις εὐλάβειαν
20 ἅμα καὶ καρτερίαν ἐπιδεικνύμενος, εὔδηλον ὡς οὐ διὰ τὸ ἔργον ἂν εἰκότως ἐπαινεθείη, διὰ δὲ τὸν νοῦν τῶν πραττομένων ψεχθείη. οὐ μὴν ἀλλ' εἴ τις ἕτερος σωφρονοίη καὶ τῶν γε πλειόνων ἐπιθυμιῶν ἀπέχοιτο, οὐ πόθῳ τῆς ἀρετῆς, φειδοῖ δὲ χρημάτων, οὐκ εὔδηλον ὡς ὁ τοιοῦτος διὰ πάθος παθῶν ἑτέρων
25 κρατεῖ, αὐτὴν δὴ τὴν κατὰ τὸ φαινόμενον καρτερίαν ἀντὶ κακίας τῷ σκοπῷ μετερχόμενος; εἰ τοίνυν πολλάκις καὶ τὰ νομιζόμενα κακὰ τῇ διανοίᾳ τοῦ πράττοντος ἀγαθὰ ἀναφαίνεται ἢ μηδὲ κακά, καὶ τοὐναντίον τὰ ἐπὶ τὸ βέλτιον ὑπειλημμένα ὡς κακὰ διελέγχεται τῇ αἱρέσει καὶ τῷ σκοπῷ τοῦ μετιόντος,
30 τίς ἂν ἔτι λοιπὸν ἀντιλέγειν ἔχοι ὡς οὐχ αἱ πράξεις ὡς ἐπὶ πολὺ παρά γε τῇ ἀληθείᾳ δοκιμάζονται, ὁ δὲ νοῦς ἐστι τῶν πραττομένων ὁ βασανιζόμενος; **35.** ποῖα τοίνυν ἔργα τῇ κακίᾳ λογιούμεθα; τὰ δοκοῦντα εἶναι κακά, ἅπερ ἐστὶν ἀγαθά, ὅτε ἀρετῆς διανοίᾳ πράττεται; ποῖα δὲ τῷ ἀγαθῷ ἀναθήσομεν; τὰ
35 φαινόμενα ἀγαθά, ἅπερ λογισμῷ κακὰ γίνεται; οὐκοῦν ἀποτόμως οὐδέτερα οὐδετέρῳ, μόνον δὲ τὸ λογιστικὸν καὶ ἡγεμονικώτατον τοῦ νοῦ τοῦ πράττοντος διακρινοῦμεν, πότερον ὀρθῶς μετῆλθεν ἢ μὴ τὸ πραττόμενον. τὸ δὲ ἡγεμονικώτατον τῆς τοῦ ἀνθρώπου διανοίας ὅτι παντάπασι προσῆκε κατὰ τὸν ἐκείνου λόγον

τῷ βελτίονι μέρει τῆς ψυχῆς, κἂν μυριάκις μαίνοιντο οἱ ἐκ τοῦ μανέντος, οὐκ ἂν ἀρνηθεῖεν. ἄδικον τοιγαροῦν παντελῶς κρίσιν κατὰ τῆς παρ' αὐτοῦ πεποιημένης ὕλης ἐξενήνοχεν ὁ Μάνης, ἀντιθεὶς ἃ μηδαμῶς αὐτῇ προσῆκεν, εἴγε καὶ ἐτύγχανεν οὖσα τῶν παρὰ ἀνθρώποις πραττομένων αἰτία· τοὐναντίον δὲ μᾶλλον 5 τῆς τοῦ ἀγαθοῦ μερίδος εὐλόγως ἂν νομισθείη, εἴγε ἐναντίως δύο τινές εἰσιν ἀρχαὶ κατὰ τὴν ἐκείνου μανίαν. **36.** σπουδάζειν δέ φησι τὸν θεὸν τὴν καταποθεῖσαν δύναμιν, ἣν καλεῖ ψυχὴν ἁπάντων, αὖθις πρὸς ἑαυτὸν ἀναδέξασθαι, ἵνα μὴ τὸ ἑαυτοῦ ἀπεράντως ἀεὶ προσδεδεμένον τῇ ὕλῃ καὶ τιμωρούμενον 10 διατελῇ. τί οὖν τὴν ἀρχὴν παρεβάλετο τοῦτο, ὥστε τοσοῦτον αἰῶνα μηδ' ἀναπνεῦσαι δυνηθῆναι καὶ πλέον παθεῖν μᾶλλον ἢ δρᾶσαι; εἰ μὲν γὰρ περιεῖχεν ὁ μῦθος, ὡς τοῦ μὲν θεοῦ μηδὲν ὑβρισθέντος εἰς τὴν ἰδίαν οὐσίαν μήτε κατὰ γοῦν τὸ βραχύτατον ἐνσχεθέντος (λίαν ἀπρεπῶς) τῇ ὕλῃ, ἀλλ' ἑτέρου δή τινος ἀλλο- 15 τριωτάτου τῆς αὐτοῦ φύσεως, ἅμα δὲ καὶ εὐθὺς ἐξαιρεθέντος καὶ τούτου, ὡς ἂν τύπῳ μᾶλλον ἢ ὑποκαταχλίσει τὴν τοιαύτην πεποιῆσθαι δοκεῖν μεταχείρησιν, ἔσχεν ἂν τὸ γοῦν πιθανὸν ἐν ψεύδει τὸ πλάσμα — νυνὶ δὲ ἄπλετος μὲν αἰὼν καὶ τοῦτο δή φασιν ἐκ τῆς φύσεως ὂν τοῦ θεοῦ καθειργμένον διατελεῖν, ὡς 20 αὐτὸν εἶναι δοκεῖν τὸν κατεχόμενον τῇ ὁμοιότητι τοῦ κατεχομένου καὶ τῷ γε ἐκ τῆς φύσεως αὐτοῦ τοῦτο τυγχάνειν· ὅθεν καὶ πλείονί γε σπουδῇ πρὸς ἑαυτὸν αὖθις ἀναλέξασθαι τοῦτο ποθεῖ, ἡ δὲ ὕλη ἁπλῆ καὶ ἀπαθὴς ὑπάρχει, ὡς δράσασα μᾶλλον ἢ παθοῦσα. ἐκ τούτων γε δῆλον, ὡς ἅπαντα, ἃ συνέθηκεν ὁ 25 πλάνος, εἰς βλασφημίαν συντέθειχε τοῦ θεοῦ, τοῦ μηδὲν τούτων καθ' ἑαυτοῦ πεποιηκότος. **37.** ἀναλαβεῖν τοίνυν πρὸς ἑαυτὸν ἐθέλει καὶ σπουδάζει (φησίν) ἐκείνην τὴν δύναμιν. καὶ τοῦτό γε ἐστὶν ἡ παρ' αὐτοῖς ἐλπιζομένη σωτηρία καὶ μακαριότης, τὸ ἀποδοθῆναί γε τῷ θεῷ τὸ οἰκεῖον αὐτοῦ. ἆρ' οὖν αὐτὸς εἰς 30 ἑαυτὸν ἀναμένει τὸ τέλος ἐλπίζων ὡς εὐεργετηθησόμενος, εἴγε μέλλοιτο ἐκ τῆς φύσεως αὐτοῦ τὴν ἐλευθερίαν ἀπολαμβάνειν, ἵνα ἃ κατέλυσεν οἰκοδομήσῃ καὶ πλέον οὐδέν, καὶ τῇ ἐλπίδι τρεφόμενος κάθηται καρτερῶν καὶ πρὸς τὸ τέλος ἀφορῶν, ἵνα ἑαυτὸν τρόπον τινὰ τῆς κακίας ἐλευθερώσῃ; οὗ δὴ βραδύνοντος 35 καὶ μὴ θᾶττον γιγνομένου αὐτὸς ἂν εἴη διὰ τῆς βραδύτητος ὁ τιμωρούμενος. δῆλον γὰρ ὡς οὐδὲ ἐπ' αὐτῷ τυγχάνει ἡ ταχύτης τοῦ τέλους· πάλαι γὰρ ἂν τούτῳ χρησάμενος τῆς ἐλπίδος ἀπολέλαυκεν. **38.** ἐπειδὴ καὶ λόγος ἕτερος καταγέλαστός ἐστι

τοῦ μανέντος, ὡς οἱ τῆς ὕλης, αἰσθανόμενοι ὅτι κακῶς ἀπολοῦνται, τοῦ φωτὸς κατὰ μικρὸν ἀφαιρουμένου, ἀντεμηχανήσαντο τῆς σαρκὸς τὴν κατασκευήν, δεσμὸν μέγιστον ταῖς ψυχαῖς, ὥστε δῆλον κατὰ τὸν αὐτοῦ λόγον, ἕως ἂν ἐκεῖνοι τὴν σάρκα χορη-
5 γήσωσιν, ἕως δὴ τούτου αἱ ψυχαὶ τοῦ ἀγαθοῦ ἐνσχεθήσονται, καὶ ἔσται ἐπ' ἐκείνοις τὸ μὴ περιγραφῆναι χρόνῳ τὸν κόσμον, οὐχὶ δὲ ἐπὶ τῷ ἀγαθῷ τὸ τέλος αὐτοῦ. **39.** τί δ' ἂν φαίη τις συνορῶν ὡς οὐχ ἵσταταί πω λόγος τῷ μανέντι, ἀλλ' ὧδε κἀκεῖσε μεταγόμενος ὑφ' ἑαυτοῦ διελέγχεται; τοῦ γὰρ κόσμου
10 δημιουργὸν φάσκων εἶναι τὸν θεόν, ὅπως οὖν αὖθις τοὺς τῆς ὕλης φησὶν ἀντιτιθέναι αὐτῷ τὴν σάρκα, ὥσπερ θεοῦ μεριζομένου πρὸς ἐκείνους τὴν δημιουργίαν καὶ κατὰ τοῦτο μὲν βίαν ὑπομένοντος, τῇ δὲ πρὸς αὐτοὺς ἀντιδόσει τὸ πᾶν, οὐ κατὰ γνώμην ἰδίαν, συμπληροῦντος. ὡς δὲ τῆς ὑποθέσεως ἐπιλελη-
15 σμένος ὁ πλάνος τῆς ἑαυτοῦ, ὀλέθριον τῇ ὕλῃ φησὶν ἔσεσθαι τῆς κραθείσης αὐτῇ δυνάμεως τὴν ἀφαίρεσιν, δι' ἧς αὐτὴν ὑπέθετο τὴν ἀρχὴν ἀτακτοῦσαν σωφρονισθῆναι· εἰ γὰρ παροῦσα δεσμεύει τὴν κακίαν, ἀναχωροῦσα πάλιν ἀνήσει καὶ ἔσται λίαν κατὰ τὴν ἀρχαίαν .... **40.** .... τοῦτ' ἐστὶ χαρᾶς αἰτία καὶ τῇ ὕλῃ
20 ἡ ταύτης ἀφαίρεσις. ἃ οἷα πρὸς ἡδονῆς ἀφαιρουμένης· εἰ τοίνυν οὐ παρὰ τὸ τέλος, ὅμως ἐλπὶς αὐτῇ τυγχάνει, ἵνα πρὸς θεὸν ἐπανέλθῃ, διαζευχθεῖσα αὐτοῦ, τί τὴν ἀρχὴν ἀφωρίζετο, ἄπλετον αἰῶνα ὑποσχεῖν μάταιον πόνον καὶ ῥύπον κακὸν καὶ ἀντὶ μεγίστης ἐλπίδος καὶ μακαριότητος τίθεσθαι τὸ αὖθις ἀναληφθῆ-
25 ναι; ἡ γὰρ ὕλη οὐδέν γε οὐδαμοῦ δέδεικται σωφρονισθεῖσα, τοὐναντίον μὲν οὖν πλείονος λαβομένη τῆς ἐξουσίας εἰ[ς] πονηρῶν ἔργων ἐπίνοιαν. ἀλλ' ἔδει (φησί) δεθῆναι ταύτην· ὅταν οὖν ἀποσπασθῇ κατὰ μικρὸν ἡ κατεχομένη δύναμις, τί γενήσεται; εὔδηλον ὡς αὖθις ἡ ὕλη πρὸς τὴν φυσικὴν ἀταξίαν ἐπανήξει.
30 οὔ φησιν. ἐν γὰρ τῷ τέλει περιγενήσεται ταύτης καὶ βῶλον ἀπεργασάμενος αὐτὴν ὑφ' ἑαυτῆς φλέγεσθαι παρασκευάσει. τί οὖν τὴν ἀρχὴν μὴ τοῦτο πεποίηκεν; ἆρ' οὐκ ἐβούλετο ἢ οὐκ ἐδύνατο; εἰ μὲν γὰρ μὴ ἐβούλετο, πῶς αὖθις βουλήσεται; μεταγνοὺς ἢ τὸ βέλτιον ἐπικρίνας; οὐκ ἦν δὲ καὶ ἄλλως πρὸς ἀγα-
35 θοῦ μὴ τὴν ἀρχὴν παντελῶς καταργῆσαι κακίαν, εἴγε οἷός τε ἦν. εἰ δὲ μὴ ἠδύνατο, ἀδυναμίας μὲν κίνδυνος ἀνακύπτει κατὰ τοῦ πλασαμένου, πῶς δὲ ὅμως ὕστερόν ποτε δυνήσεται; ἆρα προσλαβὼν δύναμιν, ἣν μὴ εἶχεν, ἢ αὐξηθεὶς ἢ ἐπιδούς; εἰ γὰρ ἀγένητα ἄμφω τἀναντία, οὐδέτερον οὔτε αὔξησιν οὔτε μείωσιν

ἐπιδέχεται. ὅλον τοιγαροῦν ἀσύστατον τοῦ βαρβάρου τὸ πλάσμα. τί δ' ἄρ' αἴσθησιν εἰληφέναι φησίν, ὡς τοῦ πλείονος μέρους ἢ τοῦ γοῦν ἐλάττονος ἀποσπασθέντος τῆς συγκραθείσης τῇ ὕλῃ δυνάμεως; εἴγε ἀφ' οὗ σελήνη αὔξει καὶ μειοῦται, διατελεῖ θεὸς κατὰ βραχὺ τὸ οἰκεῖον ἀπολαμβάνων; καίτοιγε τοσοῦτος παρῆλθεν αἰὼν καὶ οὔτε τὸ 5 ἀνθρώπινον γένος ἀριθμῷ γε τῶν ζώντων ἠλάττωται οὔτε ἄλλο τι τῶν τετραπόδων μείωσιν ὑπέστη τινά, ἀλλὰ συνήθως τὰ γιγνόμενα γίγνεται καὶ ἀπογίγνεται καὶ ἔτι μᾶλλον εἰς πλῆθος ἡ ἀνθρωπότης ἐπιδέδωκε. πόθεν τοίνυν ἐκεῖνος ὁ παραπαίων οἴεται ἀφαιρεῖσθαι κατὰ βραχύ, ἣν πλαττόμενός φησι συγκραθῆναι τῇ 10 κακίᾳ δύναμιν, εἴγε τὰ αὐτὰ ὡσαύτως ἔχει κατὰ κόσμον; τὸ αὐτὸ μὲν γὰρ τῆς ἡμέρας μέτρον, τὸ αὐτὸ δὲ τῆς νυκτός· καὶ οὔτε τὸ φῶς ἠλάττωται οὔτε τὸ σκότος ἐπλεόνασεν· ὁ γὰρ αὐτὸς ἡλίου δρόμος καὶ σελήνης καὶ μία δὴ τάξις ἡ ἐξ ἀρχῆς γενομένη διαμένει. **41.** ἐρωτητέον δὲ κἀκεῖνο, εἰ αἱ ἁμαρτήσασαι 15 ψυχαὶ καὶ μυρίοις ἐνεχθεῖσαι κακοῖς ἐν τῷ βίῳ τίσουσι δίκην ὧν ἐπλημμέλησαν ἢ οὔ; εἰ μὲν οὖν τίσουσιν, ὃ δὴ καὶ αὐτὸς ὁμολογεῖ, ἐν τῇ βώλῳ ταύτας ἐμπαγήσασθαι ἅμα τῇ κακίᾳ λέγων, εὑρεθήσεται ὁ θεὸς τὴν ἑαυτοῦ φύσιν τιμωρούμενος· οὗ τί ἂν γένοιτο ἀτοπώτερον; εἰ δὲ ἀτιμώρητοι ἔσονται, οὐκ ἄλυ- 20 πος καὶ ἀζήμιος μόνον ἡ ἁμαρτία, ἀλλὰ καὶ πλέον ἂν ἔχειν δοκοίη τῆς δικαιοσύνης, εἴγε καὶ ἐν τῷ παρόντι αἰῶνι τὴν ἡδονὴν προσάγοι τῷ μετιόντι καὶ ἐν τῷ μέλλοντι τιμωρίας αἰτία μὴ γένοιτο. πρὸς δὲ τούτοις ἅπασι θαύμασον αὐτοῦ κἀκεῖνο, ἔνθα φησὶν ὡς τῆς κακίας ἐνταυθοῖ ἀσχολουμένης, θεὸς ἐν τῷ 25 μεταξὺ τὸ βάθος ἀναπληροῖ χώματι, ὅθεν ἀνέκυψεν ἡ ὕλη κατὰ τὴν αὐτοῦ δεινοτάτην ἔκστασιν μὴ συνιέντος ὡς τὸ ἐπιβαλλόμενον εἰ μὲν ἀπὸ τῆς γῆς εἴη τοῦ ἀγαθοῦ, τίνα τρόπον ἔχει χώραν ἐν τόπῳ γε ἐναντίῳ; εἰ δὲ ἐκ τῶν μερῶν τῆς κακίας, τὸ οἰκεῖον οὐκ ἐκκλείσει, τὴν αὐτόθεν ὡρμημένην· κάθηται δὲ θεὸς κατὰ 30 τὸν μανέντα δι' αἰῶνος μεταφέρων χώματα καὶ κατὰ βραχὺ προσχωννύων βάθη τινά. ὢ τῆς ἀλόγου μανίας, πρὸς ἣν ἐν τοῖς πλείοσι καὶ γέλως τὸ γοῦν ἀποκρίνασθαι.

B

1. Ἄγει δὴ λοιπὸν ἡμᾶς ὁ λόγος ἐπὶ τὴν περὶ θεοῦ σπου- 35 δαιολογίαν. παιδιᾶς γὰρ ἴσως διέφερεν οὐδὲν τὰ πρὸς ἀνασκευὴν τῆς ἐκείνου μυθολογίας εἰρημένα. ἵνα οὖν μὴ καὶ γέλωτα ὀφλήσωμεν παρὰ τοῖς ἔμφροσι, πλάσμα λίαν ἀσύστατον περιεργότερον ἐξετάζοντες, ὅσα δὴ εὕρηται μυθικώτερα τῷ μα-

νέντι (ἔστι δὲ πάμπολ[λ]α) λόγου μηδαμῶς ἀξιώσαντες, ἤδη πειρασόμεθα δεῖξαι ὡς κακία μὲν οὐδαμοῦ κατ' οὐσίαν ὑπάρχει οὐθ' ὕλης ἀρχή τις ἄναρχος ἀντιτέτακται θεῷ, μία δὲ ἀρχὴ τῶν ὅλων καὶ εἷς θεὸς ὁ τὰ πάντα δημιουργήσας καλά τε καὶ
5 τῆς αὐτοῦ σοφίας ἄξια. καὶ γὰρ δὴ οἱ ἐξ ἐκείνου ἐπειδὰν περὶ τῶν ἀσυστάτων ἀρχῶν ἐν λόγῳ διαλε[γ]χθῶσιν, ἐπὶ ταύτην κατάγονται τὴν ἐπαπόρησιν ὡς δυσαπόδεικτον καὶ πολλὰς παρέχουσαν λαβὰς κατὰ τοῦ προ[σ]διαλεγομένου, φάσκοντες Πόθεν οὖν τὰ κακά; **2.** φαμὲν δὴ θαρσαλέως ἡμεῖς ὡς ἑνὸς ὄντος θεοῦ
10 τοῦ πάντα δημιουργήσαντος οὐδὲν μὲν κατ' οὐσίαν ἐν τοῖς οὖσι κακόν, πάντα δὲ καλὰ λίαν καὶ διαφόρως καλὰ καὶ πρὸς ποικίλας χρήσεις κατεσκευασμένα, καὶ τῶν γεγενημένων οὐδὲν ἄνευ λόγου γεγένηται, ἀλλ' ἕκαστον τῶν ὄντων, μικρῶν τε καὶ μεγάλων, ἐν ἑαυτῷ ἔχει τοῦ εἶναι τὸν λόγον, τῶν τε ἐν οὐρανῷ καὶ ἐν τῇ
15 γῇ καὶ ἐν θαλάττῃ — καὶ ὥσπερ ἄρτιον καὶ ὁλόκληρον σῶμα τῇ συστάσει τῶν μερῶν καὶ μελῶν κατεσκεύασεν ἡ ἄρρητος τοῦ θεοῦ σοφία τόδε τὸ πᾶν, ὥστε ὅπερ ἂν ἀφέλοις τῷ λόγῳ τῶν γενομένων ὡς περιττὸν καὶ τῆς χρείας ἀλλότριον, ἀκρωτηριάζεσθαι ὅλον τὸ σῶμα δοκεῖ, ἐπειδήγε τὸ δοκοῦν ἐν τοῖς οὖσι λίαν
20 εὐκαταφρόνητον συμπληρωτικὸν τῆς τοῦ σώματος τελειότητός ἐστι, καὶ οὐδὲν ἀργὸν ἐν τοῖς οὖσιν οὐδὲ μάτην γεγονὸς οὐδ' εἰς φιλοτιμίαν περιττὴν παρεγκείμενον, μόνη δὲ εὐλόγως καὶ δικαίως περιττὴ ἡ τῶν ἁμαρτανόντων ἀνθρώπων ἀδικία καὶ ἀληθῶς γε κακία τυγχάνει, οὐ μὴν ἐξ ἀνάρχου κακίας, ἥντινα μὴ οὖσαν
25 ἀπὸ ταύτης γε οὔσης ἐπενόησεν ὁ Μάνης, ὡς ὁ λόγος ἤδη μὲν ἱκανῶς ᾐνίξατο τοῖς ἔμπροσθεν, δείξει δὲ σαφέστερον καὶ τοῖς ἑξῆς. διὸ δὴ πρῶτον περὶ τούτου διαλαβόντες, οὕτως ὁδῷ προελευσόμεθα, δεικνύντες ὡς κατ' οὐσίαν οὐδὲν τῶν ὄντων κακόν, ἀλλὰ μὴν ὅσα κατὰ γενεὰν οἰκονομεῖ ὁ θεός, πρεπόντως γε τῇ
30 ἑαυτοῦ σοφίᾳ καὶ συμφερόντως οἰκονομεῖ τοῖς ὑπὲρ ὧν ταῦτα ποιεῖ. **3.** κόσμον τοίνυν κατεσκεύασεν ὁ θεὸς καὶ περὶ τούτου πρὸς οὓς ὁ λόγος οὐ διαχειμάζονται. εἰ γὰρ δὴ καὶ εἰς ἀκοσμίαν κόσμιον ὄντα τὸν κόσμον μεταβάλλουσιν, ἀλλά γε περί τε τρόπου καὶ τῆς αἰτίας τοῦ γενέσθαι ὁμολογοῦσι. τούτῳ δὴ
35 μέρος μὲν ὄντα τοῦ παντός, ὅμως δὲ πολίτην ἐπιστήσας λογικὸν τὸν ἄνθρωπον ὁ θεός, τὰ μὲν ἄλλα ὅσα μήτε πρὸς ἀρετὴν μήτε πρὸς κακίαν ὁρᾷ ἑαυτῷ τετήρηκεν οἰκονομεῖν, ἀρετὴν δὲ μόνον ἢ κακίαν ἐπ' αὐτῷ εἶναι πεποίηκε, τῇ φύσει προενθεὶς ἑκατέρου τὴν γνῶσιν, ἵνα ὀφθαλμοῦ δίκην ταύτην ἐπαγόμενος οὐ μόνον

μετὰ τελείας ἐπιστήμης τὸν βίον ὁδεύῃ, ἀλλὰ καὶ αὐτουργὸς τῶν τῆς ἀρετῆς κατορθωμάτων ὑπάρχῃ. ἄνθρωπος τοίνυν ἀδικῶν ἁμαρτάνειν ἐγκαλεῖται δικαίως. εἰ μὲν γὰρ πράττει τὴν ἁμαρτίαν οὐ δυνάμενος ἀποσχέσθαι ταύτης, ἄδικον ὑπομένει τὴν μέμψιν· εἰ δέ, ἐξὸν μὴ ποιεῖν, τοὐναντίον ποιεῖ, ὡς ἀδικῶν εὐλόγως ἐγκαλεῖται. καὶ καλῶς γε λόγῳ ἐγκλήματος ἡ ἁμαρτία καλεῖται παρὰ λόγον (ᾧ γε δυνατόν ἐστι χρήσασθαι πανταχοῦ) πραττομένη, ὡς εἶναι ἁμαρτίαν πᾶν τὸ παρὰ λόγον πραττόμενον, εἰ καὶ ἐκ τῶν κατὰ φύσιν λαμβάνει τὴν ἀφορμήν. τῶν γὰρ κατὰ φύσιν ἡ ἀλόγιστος χρῆσις ποιεῖ τὴν ἁμαρτίαν, λόγος δὲ ἐν ἡμῖν δοκιμαστικὸς τῶν κατὰ φύσιν, ὅθεν οὐ λανθάνει πραττομένη. εἰ μὲν τοίνυν πρὸς ἄσκησιν ἀρετῆς τὸν λόγον διαγυμνάζοιμεν τὸν ἐν ἡμῖν ὥσπερ σῶμα, τῇ εὐμέτρῳ κινήσει ὑγιῆ καὶ εὔρωστον τοῦτον ἀπεργαζόμεθα· εἰ δὲ γυμνασίας καὶ ἐπιμελείας τοῦτον μὴ ἀξιοῖμεν, ἀσθενῶν ἀμαυρότερος γίνεται καὶ τέλος ἀμελούμενος πηροῦται. ἐφ' ἡμῖν δὲ τυγχάνει πανταχοῦ λόγῳ τῷ ἐν ἡμῖν κεχρῆσθαι, ὥσπερ οἱ τὴν οἰκοδομικὴν μετιόντες τῷ γνώμονι, πρὸς τὴν ἀρετῆς ἀκρίβειαν, καὶ τοῦτον γεωργεῖν, ὥσπερ τῇ γῇ τὰ καταβαλ[λ]όμενα σπέρματα, ἅπερ ἐπειδὰν ἀμεληθῇ διαφθείρεται. **4.** ἐνταῦθα δὴ τὸ ἀμφίβολον ἀνακύπτει τῆς ζητήσεως. τίνος χάριν τῷ γε τοσούτῳ κινδύνῳ παραβεβλήμεθα, ἐφ' ἑαυτοῖς ἔχοντες τὸ σπουδάζειν καὶ μή, ὡς μὴ πάντως ἀγαθοὺς ἀποτελεῖσθαι, ἀλλ' ἢ ὡς ἐπὶ τὸ πολὺ (οὐ μόνον ἔστιν ὅτε) κακούς. ἀναγκαῖος, οὐχ ἁπλῶς ὠφέλιμος ὁ κίνδυνος, ἐπείτοι τοῦ παντὸς διαμάρτοιμεν ἄν. εἰ γὰρ πεποίηκεν ἡμᾶς ὁ θεὸς ἀδυνάτους πάντῃ πρὸς ἁμαρτίαν, οὐκ ἂν γεγόναμεν ἀγαθοί. ἀγαθὸς μὲν γὰρ ἐν ἀνθρώποις ὁ δίκαιός τε καὶ σώφρων, ἀπεχόμενος δὲ τῆς ἀδικίας γίνεται δίκαιος καὶ φεύγων ἀκολασίαν σώφρων ἀποτελεῖται. ἡ τοίνυν ἐξουσία τῶν ἐναντίων τὴν κτῆσιν .... ὡς εἴ τις μὴ ἐν ἐξουσίᾳ ἀκολασίας τυγχάνει, σώφρων οὐκ ἂν γένοιτο. φαίη γὰρ ἄν τις Τίς οἷός τε ὢν ποιεῖν ἀκόλαστον οὐ πεποίηκεν; οὐ γὰρ ἀδυναμία ἀκολασίας ποιεῖ σωφροσύνην οὐδὲ ἀσθένεια πρὸς ἀδικίαν ποιεῖ δικαιοσύνην, ἀλλὰ τὸ δύνασθαι μὲν πράττειν, λόγῳ δὲ ἀπέχεσθαι, τοῦτο ἡ ἀρετὴ σωφροσύνης τε καὶ δικαιοσύνης, καὶ οὐχὶ δύνασθαι μόνον, ἀλλὰ πρὸς τῆς φύσεως ἐρεθίζεσθαι, ἵνα τις καὶ ἀληθὴς ἔπαινος ᾖ τοῦ μὴ πράττειν αἱρεῖσθαι. αὕτη γὰρ μόνη καὶ οὐκ ἄλλη τις εὑρεθείη παρὰ ἀνθρώποις ἀρετή. θεὸν μὲν γὰρ οὔτε σώφρονα κλητέον οὔτε ἀνδρεῖον καὶ τὰ τοιαῦτα (ἐπάνω

γὰρ τῆς ἀνθρωπίνης ἀρετῆς ὑπάρχει· κἂν δίκαιος δὲ καλῆται, ἑτέρως· οὐ γὰρ ὡς ἡμεῖς), ἄνθρωπος δὲ ὅσον ἄνθρωπος πῶς ἂν γένοιτο ἀγαθὸς ζητοῦμεν. ἑκάστῳ γὰρ τῶν γινομένων μέτρον ὥρισται φύσεως ὅπερ ὑπερβῆναι μὲν ἀδύνατον, τὸ δὲ μὴ ὑπο-
5 λειφθῆναι ἐντελὴς ἀρετή. τί τοίνυν ἀνθρώπῳ μέτρον ὥρισται πρὸς ἀρετὴν καὶ πρὸς τὸ γενέσθαι ἀγαθόν; σωφροσύνη τε καὶ δικαιοσύνη καὶ τἄλλα. ἄνθρωπον γὰρ ὑπὲρ ταῦτα γενέσθαι ἀγαθὸν ἀδύνατον. εἰ δὲ ἡ σωφροσύνη ἐγκράτειά ἐστιν ἡδονῶν, δεῖ τῶν τῆς σωφροσύνης ἐναντίων ἐν ἐξουσίᾳ τυγχάνειν, καθ'
10 ὧν ἡ ἐγκράτεια, σωφροσύνης ὄνομα τε καὶ ἔργον. τὸ δὲ μὴ εἶναι ἐν ἐξουσίᾳ τῶν ἡδονῶν ἄντικρυς στέρησιν σωφροσύνης ποιεῖ. παραπλησίως δὲ ἔχει δικαιοσύνη καὶ τἄλλα. εἰ δέ τις ἀντιλέγοι ὡς δέον ἡμᾶς ἀνεπιδέκτους εἶναι τῶν ἐναντίων (ἀκολασίας τε καὶ ἀδικίας) ὥσπερ ὁ θεός, οὐδὲν ἕτερον ὁ τοιοῦτος
15 λέγει ἢ ὡς δέον εἶναι ἡμᾶς οὐκ ἀνθρώπους· ὥσπερ ἄν τις ἀετὸν ἄνω που θεωρῶν ὑψηλὸν ἱπτάμενον ἀγανακτοίη κατὰ τῆς ἵππου φύσεως καὶ πικρῶς κακίζοι ταύτην ὡς μὴ παραπλησίαν τῇ τοῦ ἀετοῦ, δέον ἵππον ὡς πρὸς ἵππου φύσιν ἐξετάζειν. **5.** ἄνθρωπον δὴ πεποίηκεν ὁ θεὸς τὸν ἄνθρωπον, ψυχὴν δὴ μετὰ
20 σώματος· σωματικὸς γάρ ἐστιν οἰκήτωρ κόσμου. οὗτος τοίνυν ἐὰν γένηται ἀγαθὸς ὅσον χωρεῖ ἀνθρώπου φύσις, εὐδόκιμος ἂν εὑρεθείη. πῶς ἂν οὖν γένοιτο ἄνθρωπος ἀγαθὸς ζητητέον, εἰ πεποίηκεν αὐτόν. οὐκοῦν ἄνθρωπος γένοιτο ἀγαθός, εἰ σώφρων εἴη καὶ δίκαιος. εἰ γὰρ ἔνεστι βελτίω τρόπον ἄνθρωπον γενέ-
25 σθαι ἀγαθόν, αἰτιατέον τὸν δημιουργήσαντα ὅτι μὴ κατ' ἐκεῖνον ἀνέδειξε τὸν ἄνθρωπον ἀγαθόν. εἰ δὲ ὅσον ἐν ἀνθρώπου φύσει οὐδὲν βέλτιον ἐπιδέοιτο ἂν ἄνθρωπος σωφροσύνης καὶ τῶν ἄλλων, ζητητέον, πῶς αὖθις δυνατόν γε ἄνθρωπον σώφρονά τε καὶ δίκαιον εἶναι. βούλεται γὰρ ταῦτα εἶναι αὐτὸν ὁ δημιουργήσας.
30 οὐκοῦν σωφροσύνη δίχα τῆς τοῦ ἐναντίου παραθέσεως οὐκ ἂν γένοιτο, ὁμοίως δὲ καὶ δικαιοσύνη· εἰ δὲ μή, οὐκ ἂν εἴη σωφροσύνη οὔτε δικαιοσύνη. εἰ δὲ μὴ εἴη τοῦτον τὸν τρόπον δυνατὸν γενέσθαι δίκαιόν τε καὶ σώφρονα, οὐκ ἂν ἄλλως γένοιτο ἄνθρωπος δίκαιός τε καὶ σώφρων καὶ τότε εὐλόγως ἂν ὁ δη-
35 μιουργὸς διαβληθείη ὅτι πεποίηκε δυνατὸν οὐκ εἶναι τὸν ἄνθρωπον γενέσθαι ἀγαθόν, λέγω δὴ σώφρονά τε καὶ δίκαιον, καθ' ὃν μόνον καὶ οὐδαμῶς ἕτερόν τινα τρόπον εὐδοξήσειν ἔμελλε καὶ ἄξιός γε τῆς τοῦ πεποιηκότος σοφίας ἀποδειχθήσεσθαι. **6.** εἰ δὲ ἐπιμένοι ὁ ἀντιλέγων ὡς ἐχρῆν φύσει καὶ οὐ πόνῳ

σώφρονα γενέσθαι τὸν ἄνθρωπον, πάλιν τὸ τί ἐστι σωφροσύνη καταλιμπάνων, ἐπὶ ἀλόγιστον αἵρεσιν ὁ τοιοῦτος ἐκκλίνει, τὸ μὲν ὅτι ἀδύνατόν ἐστιν ἄνευ σωφροσύνης καὶ δικαιοσύνης ἄξιον εἶναι τοῦ πεποιηκότος τιθέμενος, τὸν δὲ τρόπον τῆς κτήσεως τούτων ἐξετάζειν οὐ βουλόμενος, ὅτι δὴ τὸ δεσμῷ φύσεως 5 γιγνόμενον οὐκ ἂν εἴη σωφροσύνη, ἥτις ἥκιστά γε ἑτέρως ἢ τῇ τῶν ἡδονῶν ἀντιστάσει γνωρίζεται. .... δεῖται ἄρα τῶν ἀνθισταμένων, ἵνα μαχομένη καὶ κρατοῦσα τούτων κληθῇ καὶ γένηται σωφροσύνη. παραπλησίως δὲ καὶ τὰ ἄλλα. **7.** οὕτω δὴ κατεσκεύακε τὸν ἄνθρωπον φύσει μὲν οὔτ' ἀγαθὸν οὔτε κακόν, ἐπιτρέψας δὲ 10 τῷ λογισμῷ τοῦ κρείττονος τὴν αἵρεσιν. εἰ δέ τοι μήτ' ἀγαθὸν μήτε κακόν, τί ἂν εἴη λοιπὸν ζητεῖται. σκοπητέον τὸ βραχὺ παιδίον τῇ τῶν ἄκρων ἀναιρέσει γνωριζόμενον, λέγω δὴ οὔτ' ἀγαθὸν οὔτε κακόν. ἡ μὲν γὰρ οὐσία τούτου καλή, τὸ δὲ κατ' ἀρετὴν ἀγαθὸν οὔπω προσείληφεν. οὕτω δὴ καὶ χρυσὸς φύσει 15 καλός, λόγῳ δὲ ἀρετῆς οὐκ ἀγαθός, ἄψυχος ὤν. καὶ λίθοι τίμιοι παραπλησίως καὶ πάντα τὰ ὄντα, ἕκαστον κατὰ τὸ ἴδιον ἐν ὄψει κάλλος. κατὰ δὴ τοῦτον τὸν λόγον καὶ ἄνθρωπος, καλὸς μὲν καὶ λίαν καλὸς οὐσίᾳ τε καὶ αὐτῷ τῷ εἶναι, τὸ δὲ ἀγαθὸν τὸ διὰ μόνης ἀρετῆς προσγινόμενον πόνῳ κτᾶται· δι' ὃ θεὸς ἐπ' 20 αὐτῷ εἶναι τοῦτο πεποίηκεν. εἰ οὖν ἔδωκε μὲν τὴν ἐξουσίαν, οὐ προεντέθεικε δὲ τῇ φύσει τὴν γνῶσιν ἀρετῆς τε καὶ κακίας, τυφλὸν ἂν ἔδοξεν ἡνίοχον ἐφιστᾶν ἅρματι ὀξυτάτῳ. εἰ δὲ ἅμα συνεκέρασεν ἄμφω, ἐξουσίαν τε πρὸς κτῆσιν τοῦ καλ[λ]ίονος καὶ γνῶσιν πρὸς διάκρισιν καὶ πρὸς ἀσφάλειαν τῆς αἱρέσεως, τεχνί- 25 την μὲν προσανέδειξε τὸν ἡνίοχον νοῦν, ἐλάσει δὲ σῶον οὗτος τὸ ἅρμα τῆς φύσεως, εἴ γε μὴ ὑπνώσας κατὰ τὸ στάδιον ὑπὸ τῶν ἡδονῶν ἀναβληθείη. **8.** οὐσίᾳ μὲν καὶ φύσει ἄνθρωπος καλὸς ὡς χρυσός, ὡς λίθος τίμιος, ὡς ἔργον θεοῦ, ἀγαθὸς δὲ ἢ τοὐναντίον κακὸς προθέσει. ταῦτα γὰρ αὐτῷ παράκειται μὲν 30 ὡς πραχθῆναι δυνάμενα· ποιότητές εἰσιν ἐπισυμβαίνουσαι κατὰ τὴν ἐγγινομένην ἀγωγὴν καὶ τῆς προθέσεως αἵρεσιν, ὡς τὴν κακίαν, ἐν πράξει μόνον συνισταμένην, πρὶν πραχθῆναι μὴ ὑφεστάναι. ἐξουσίαν μέντοι ἔχει κακίας ὁ ἄνθρωπος τῆς πραχθῆναι δυναμένης, οὐχ ἵνα πράξῃ ταύτην, ἀλλ' ἵνα μὴ πράξας ἄριστος 35 ἀναδειχθῇ. εἰ γὰρ τοῦτο πράττειν τὴν ἐξουσίαν οὐκ εἶχε, φθόνον ἂν ἔδοξεν ὑπέχειν τοῦ δημιουργοῦ πρὸς ἐμπόδιον εὐδοκιμήσεως καὶ πρὸς στέρησιν ἐλευθεριότητος, ὡς οὐκ ἔχων ἐφ' ἑαυτῷ τὸ γενέσθαι ἀγαθός, ὡς τὸ δοκοῦν μειονέκτημα ἀληθέστατον τυγχά-

νειν τῆς φύσεως πλεονέκτημα. νῦν μὲν γὰρ ἥκιστα πρὸς βίαν ἡ κακία ἔπεισιν αὐτῷ, μὴ κατ' οὐσίαν ὑπάρχουσα. εἰ δὲ μὴ εἶχεν ἐξουσίαν αὐτῆς, οὐκ ἂν εἶχεν ἐφ' ἑαυτῷ τὸ φεύγειν αὐτήν. φεύγει γὰρ οὐχ ὡς ὂν τὸ μὴ ὄν, ἀλλ' ὡς ὑπ' αὐτοῦ γε-
5 νέσθαι δυνάμενον. πῶς δ' ἂν τὸ μισόκακον ἐκτήσατο, κάλλιστον ὄν, εἰ μὴ οἷός τε ὢν τοιαῦτα πράττειν ἑκὼν παρῃτεῖτο; ἀρετὴ γὰρ ἐν ἀνθρώποις σχεδὸν οὐδὲν ἕτερον ἢ κακίας παραίτησις. σώφρων γὰρ ὁ μὴ ἀκόλαστος καὶ δίκαιος ὁ μὴ ἄδικος καὶ τἆλλα παραπλησίως. θεὸς μὲν γὰρ ἀγαθὸς οὐ τῷ μὴ ἀδικεῖν, εἰ καὶ
10 δύναται, ἀλλὰ τῷ μόνον εὐεργετεῖν (δι' ὃ καὶ μόνος ἀγαθός)· ἐν ἀνθρώποις δὲ τὸ ἀγαθὸν πρῶτον τῇ φυγῇ τοῦ χείρονος συνίσταται, οὗ τὴν ἐξουσίαν ἀναγκαῖον παρακεῖσθαι, ἵν' ἐπὶ τῷ βουλομένῳ γενέσθαι ἀγαθῷ τυγχάνῃ τὸ μὴ ποιεῖν αὐτό. κἂν γὰρ ὁ τέλειος προσαπαιτῆται καὶ πράξεις ἀγαθῶν πρὸς τῇ φυγῇ τῶν ἐναντίων, ἀλλὰ μεῖζον
15 εἰς εὐδοκίμησιν ἡ φυγὴ τοῦ χείρονος. οὕτω μὲν γὰρ τὸ μὲν ἄπταιστον παρὰ ἀνθρώποις οὐδαμῶς εὕροι τις ἂν ὡς εὐδοκιμωτέρου τυγχάνοντος διὰ τὴν δυσχέρειαν τοῦ ἀπέχεσθαι τῆς ἁμαρτίας, ἐπειδὴ τοῦτον μάλιστα τὸν τρόπον χαρακτηρίζεται ἡ ἀρετή· πρᾶξιν δὲ χρηστὴν καὶ παρὰ τοῖς λίαν πονηροῖς εὑρίσκομεν.
20 δῆλον τοίνυν ὡς ἄνθρωπος εὐεργετεῖται τῇ ἐξουσίᾳ τοῦ πλημμελεῖν, οὗ γε ἀπεχόμενος (καὶ οὐχ ἑτέρως) εὐδοκιμεῖ. **9.** ἐλευθεριότητι τοιγαροῦν τετίμηται ἄνθρωπος ἀρετῆς τε καὶ κακίας, τούτων φύσει τὴν γνῶσιν ἔχων δυναμένων πραχθῆναι, πρὶν δὲ πραχθῆναι μὴ ὄντων. ποῦ γὰρ ἂν εἴη τὸ πραττόμενον, τοῦ πράττοντος μὴ
25 ὑπάρχοντος; ὥστε γίνεται καὶ ἀπογίνεται κακία πραττομένη καὶ μή. αὐτίκα καὶ θεός, ἀγαθὸς ὢν καὶ μόνον εὐεργετεῖν εἰδώς, κακὸν μὲν οὐδὲν δρᾷ, οὔτε δὲ ἀγνοίᾳ ἀπέχεται κακίας οὔτε ἀδυναμίᾳ πάμπαν κεχώρισται ταύτης. πῶς γὰρ ἀγνοεῖ ὁ διδάσκων μὴ πράττειν αὐτήν; πῶς δὲ εὔλογον δι' ἀδυναμίαν θεὸν
30 ἀπέχεσθαι κακίας ἡγεῖσθαι; οὐ γὰρ ἀδυναμίᾳ τοῦ ἀδικῆσαι ἀγαθὸς ὁ ἀγαθός, ἀλλὰ τελείᾳ τοῦ μὴ βούλεσθαι δυνάμει. εἰ δὲ λέγοιμεν ὡς οὐ δύναται θεὸς ἄδικόν τι ποιῆσαι, καλῶς δή φαμεν. **10.** τὸ μέντοι μὴ δύνασθαι οὐ πρὸς ἀσθένειαν ἕλκομεν, ἀλλὰ πρὸς ἀκρότητα τοῦ μὴ βούλεσθαι καὶ πρὸς τὸ ἀμετάστατον τῆς
35 τοῦ χείρονος παραιτήσεως. ἄτρεπτος γὰρ ὢν τὴν φύσιν ἄτρεπτον ἔχει τὸ μὴ βούλεσθαί τι κακὸν δρᾶσαι, ὥστε δύναται μέν, οὐ δρᾷ δὲ ἀτρέπτῳ τῇ τοῦ μὴ βούλεσθαι φύσει. καὶ οὕτως οὐκ ἔστι κακία παρὰ θεῷ οὐ μόνον τῷ μὴ ὑφεστάναι, ἀλλὰ μηδὲ τῷ πράττεσθαι. ἐπειδὴ δέ πως ἀνθρώποις οὐκ ἔστιν ἄτρεπτος

ἡ παραίτησις αὐτῆς (κἂν τις ἀναβεβήκῃ πρὸς ἀρετήν), πραττομένη μόνον εἶναι δοκεῖ, οὐχὶ δὲ καὶ μὴ πραττομένη προϋπάρχει. **11.** οὕτω μὲν δὴ τὸν ἄνθρωπον τετίμηκεν ὁ θεός, κατ' εἰκόνα ἑαυτοῦ δημιουργήσας αὐτόν, ἵν' ὥσπερ αὐτὸς ἐλευθερότητι φύσεως ἀγαθός, οὕτω δὴ καὶ ὁ ἄνθρωπος ἐλευθερότητι προθέσεως 5 ζηλωτὴς ὑπάρχῃ θεοῦ, οὐκ ἀδυναμίᾳ φύσεως τοῦ ἁμαρτάνειν ἀπεχόμενος, ἐλευθεριότητι δὲ τὴν ἀρετὴν τιμῶν. ταῦτα δὲ σημαίνει μὲν αὐτάρκως καὶ τὸ πολλὰς πολλάκις ἐν ἀνθρώποις εὑρίσκεσθαι πρὸς ἀρετὴν καὶ κακίαν μεταβολάς, οἷς ἂν μηδέτερον τούτων παγίως ἐνυπάρχῃ χρονίῳ συνηθείᾳ. ὅσα μὲν γὰρ φύσεως 10 ἀνάγκῃ δρῶμεν, τούτων μεταβολὴν οὐκ ἐπιδεχόμεθα, ὅσα δὲ λόγῳ προθέσεως ποιοῦμεν, ταῦτα ἄλλοτε ἄλλως ἐν ἡμῖν ἔχει πρὸς τὰς ἐγγινομένας τῇ προθέσει ῥοπάς. οὐ τοίνυν φυσικὸν καὶ ἀναγκαῖον ἀνθρώποις τὸ ἁμαρτεῖν, ἀλλὰ προαιρετικὸν τὸ κακοπραγεῖν. σημαίνει δὲ καὶ ὁ πόνος τῆς ἀρετῆς τὸ προαιρετικὸν τῶν κεκτημένων αὐτήν, οἷς εἴ τι καὶ μικρὸν ἀμελείας ἐγγίνοιτο, κινδυνεύει τὸ κτῆμα. **12.** εἰ δέ τις κατὰ τοῦ λόγου παράγοι τὸν βουλόμενον μὲν ἔστιν ὅτε φαύλων ἀπέχεσθαι, φάσκοντά γε μὴν ἀδυνάτως ἔχειν, μανθανέτω ὡς χρόνιον μὲν καὶ κατὰ σῶμα πάθος οὐ ῥαδίως μετακινεῖσθαι πέφυκεν· οὕτω δὴ 20 καὶ τῆς ψυχῆς ἕξις οὐκ ἀγαθὴ χρόνῳ παγεῖσα οὐκ εὔκολον ἔχει τῶν ἐν πολλῇ γε συνηθείᾳ τὴν ἀποφυγήν, πλὴν εἰ μή τι μεῖζον ἀγαθὸν πάθος ἐπεισελθὸν τὸ προλαβὸν ἐκβάλοι. αὐτίκα ὁρμήσας τις πολλάκις ἀσχέτως ἐπὶ φαύλην τινὰ πρᾶξιν, ἢ τὸν ἄνδρα θεασάμενος τῆς γυναικός, μοιχεῦσαι προθέμενος, ἀνεστάλη φόβῳ 25 τῶν ἐλέγχων τῆς ἐπιθυμίας ἢ τῶν νόμων ἀναμνησθείς. ἄλλος λῃστεῦσαι προθέμενος, δέει τῆς τιμωρίας τὴν ἐπιθυμίαν ἐκόλασεν. οὕτω παθῶν ἔργα τὰ ἁμαρτήματα, οὐ φύσεως ἐξανθήματα. τιμῶμεν δὲ πάντες καὶ ἀγαπῶμεν (οἷς ἐπιεικείας μέτεστι) τοὺς νόμους, κολάζοντας ἀπαραιτήτως τοὺς κακοπραγοῦντας. οὕτω 30 κοινῇ δόξῃ διὰ τῶν ἔργων τιθέμεθα μὴ βιαζομένους φύσει κακοπραγεῖν, αἱρουμένους δὲ προθέσει τῆς κολάσεως ἀξίους ἀποφαίνεσθαι. **13.** ἐπεὶ δὲ καὶ ἄλλως οἱ ἐκ τοῦ μανέντος πειρῶνται δύο φύσεις ἐναντίας ἡμῖν οὔσας ἀπελέγχειν τῷ ποτὲ μὲν ἡμᾶς ἐνθυμεῖσθαι φαῦλα, ἄλλοτε δὲ ἀγαθά, ἐπισημαντέον ὡς 35 φυσικῆς ἐν ἡμῖν οὔσης τῆς γνώσεως ἑκατέρων, ἀναγκαίως ἐπὶ τὴν ἐνθύμησιν ὧν γινώσκομεν κινούμεθα, ζημιούμενοι μὲν οὐδ' ὁτιοῦν, κερδαίνοντες δὲ τὸ πᾶν τῇ τοῦ καλλίονος προτιμήσει. πῶς γὰρ ἂν ἡ ἐπὶ τὸ κρεῖττον ἀνθρώποις ἑκούσιος ἐμαρτυρήθη

κίνησις, μὴ τῆς ἐνθυμήσεως ἑκατέροις φυσικῶς ἐπιβαλλούσης, ἀδικίᾳ τε καὶ δικαιοσύνῃ; ἡ μὲν γὰρ γνῶσις ἀναγκαία πρὸς διάκρισιν, ἡ δὲ ἐνθύμησις ψηλαφᾷ τὰ ἐγνωσμένα, ἡ δὲ πρόθεσις ἐφ' ὃ βούλεται ῥέπει· ταῦτα δὲ οὐχὶ μέρη ψυχῆς διάφορα,
5 ἀλλ' ὡς ἐνέργειαι ταύτης. οὕτω μέντοι τῷ ἡμετέρῳ ὀφθαλμῷ πρόσεστι φυσικῶς τὸ ὁρᾶν ἄλλο, εἰ τυχοίη πράξεις κακάς τε καὶ ἀγαθάς, καὶ οὐδετέρων αἴτιος ἂν εἴη (διαδέχεται γὰρ ὁ νοῦς τὴν ὄψιν καὶ διακρίνει τὰ ὁρώμενα), οὕτω δὴ καὶ ἡ ἐνθύμησις ὀφθαλμοῦ δίκην ἀναγκαίως κινεῖται πρὸς [τὰ] τὸ γενέσθαι ἐν-
10 δεχόμενα, οὐ βιαζομένη πρὸς αὐτὰ τὴν ψυχήν, ἀλλὰ γνώσει φυσικῇ ἐπιβάλλουσα τούτοις. αὐτίκα ἅμα μέν, ἐὰν θέλωμεν, τἀναντία ἐνθυμούμεθα, ἅμα δὲ τἀναντία πράττειν οὐ δυνάμεθα. οὕτως ἡ μὲν πρᾶξις ἀφώρισται τῇ αἱρέσει τῆς προθέσεως, ἡ δὲ ἐνθύμησις τὴν φυσικὴν γνῶσιν ἀρετῆς τε καὶ κακίας μαρτυ-
15 ρεῖται. εἰ γὰρ μὴ ταῦτα προεγινώσκομεν, οὔτ' ἂν ἐνεθυμήθημεν οὔτ' ἂν τὸ κρεῖττον εἱλόμεθα .... στερόμενοι τῷ πάντως προαιρεῖσθαι τὸ χεῖρον ἀγωγαῖς φαύλαις προειλημμένοι· δι' ὃ δὴ μᾶλλον ἀνθρώποις σπουδαστέον περὶ τὴν τῶν παίδων ἀνατροφὴν ἢ γεωργοῖς περὶ τῶν φυτῶν αὔξησιν. τὸ τοίνυν τὴν ἐνθύ-
20 μησιν ἡμῶν εἰς τεκμήριον λαμβάνειν δύο φύσεων ἐναντίων παραπλήσιον ἂν εἴη ὥσπερ εἴ τις φαίη τῶν χρωμάτων ἁπάντων κρᾶσιν εἶναι τὴν ὄψιν, ἐπειδὴ τούτοις ἅπασιν ἐπιβάλλει. **14.** ὅτι μὲν οὖν ἀναγκαίως τὸ ἐξεῖναι ἁμαρτάνειν εἴληφεν ἄνθρωπος, οὕτω γενόμενος ὡς οὐκ ἂν ἑτέρως τὸ κατορθοῦν δύνασθαι κτη-
25 σάμενος, ὅπερ θεὸς ἀγαθός τε καὶ ἄφθονος ὑπάρχων ἐντέθεικε τῇ φύσει, καὶ ὅτι τέως διά γε τὰ παρὰ ἀνθρώποις ἀδικήματα οὐδεμία ἀνάγκη ὕλην ἄναρχον καὶ κακίαν δοκεῖν ἀντιπαρατάττειν θεῷ οὔτε μὴν ὅλως κατ' οὐσίαν ὑφεστηκέναι νομίζειν κακίαν, ἀλλ' ἐν πράξει τὴν ὑπόστασιν ἔχειν, διὰ τῶν προειρημένων
30 ἀποδέδεικται. **15.** λοιπὸν δὲ περί τε τῆς πανσόφου διοικήσεως τοῦ θεοῦ καὶ περὶ τῶν μάτην εἰς κακίαν πρὸ[ς] τοῦ μανέντος διαβληθέντων δημιουργημάτων ῥητέον ὡς δύναμις. ἀταξίαν δὴ πολλὴν ψηφίζεται τῶν καθ' ἡμᾶς πραγμάτων, πλοῦτόν τε καὶ πενίαν, ὑγείαν τε καὶ νόσον ὡς ἄνισα διαβάλλων· ἔτι μὴν καὶ
35 τὸ πολλάκις τὸν μὲν κακοῦργον διαφεύγειν τὴν τῶν νόμων τιμωρίαν, τὸν δ' ἀναίτιον τιμωρεῖσθαι καὶ τοὺς φαύλους ἔστιν ὅτε τῆς κατὰ τῶν ἄλλων ἀρχῆς ἐπιβαίνειν. ῥητέον τοίνυν ὅτι παρῆκται πρὸς τοῦ δημιουργήσαντος ἄνθρωπος εἰς τὸν βίον ἐμπορευόμενος ἕτερον οὐδὲν ἢ μόνην εὐσέβειάν τε καὶ ἀρετήν.

ταῦτα γὰρ κτησάμενος μὲν καλῶς ἂν διανήξαιτο τόνδε τὸν βίον, ἀμελήσας δὲ τούτων χαλεπῶς ἂν διαβαπτισθείη πλανώμενος. τροφὴν δὲ σώματος καὶ ἐνδυμάτων περιβολὴν καὶ τὴν ἄλλην σκέπην δέδωκεν ὁ θεὸς αὐτῷ [οὐ] προηγούμενα δῶρα, ἀλλ' ὡς ἀναγκαῖα πρὸς τὴν ἐνταῦθα τοῦ εἶναι σύστασιν, ἵνα μετὰ σώ- 5 ματος ὑπάρχων τὸ μὲν ζῆν διὰ τούτων ἔχῃ, τὸ δὲ πονεῖν καὶ κτᾶσθαι τὰ ῥηθέντα ἀόκνως μετίῃ. φῶς δὲ περιεποίησε σωματικὸν καὶ κατάλληλον αὐτοῦ τῇ φύσει καὶ ἀέρα πρὸς ἀναπνοὴν καὶ ὕδωρ καὶ τὰ ἄλλα δὴ ὅσα ἀναγκαῖα. ταῦτα γὰρ κοινὰ μὲν φυσικῶς ἅπασιν ἀνθρώποις ὑπάρχει παρὰ θεοῦ καὶ οὐκ ἄν 10 τις φαίη ὡς τῷ πένητι ἔλαττον τοῦ φωτὸς μέτεστι[ν] ἢ τῆς τῶν ὑδάτων χορηγίας οὔτε μὴν τῆς πρὸς τὸ ζῆν φυσικωτάτης ἀναπνοῆς. καὶ ἀναγκαίαν δὲ τὴν τροφὴν (εἰ καὶ μὴ ἄνευ ἱδρῶτος) πορίζεται. ἀλλ' ὅμως κοινὸς τοῖς πᾶσι τῆς πρὸς τὸ ἀναγκαίως ζῆν χορηγίας ὁ τρόπος. χρυσός τε καὶ ἄργυρος καὶ λίθοι τίμιοι, παρ' 15 αὐτοῦ καὶ ταῦτα τοῖς κεκτημένοις ὑπάρχει, οὐ μὴν πλέον τι συμβάλλοιτ' ἂν πρὸς τὴν προειρημένην ἐμπορίαν, εἰ μὴ καὶ μᾶλλον ἐμποδίσειεν ἄν. ὅμως δὲ οὔτε πενίᾳ ἀνέφικτος ἡ προτεθεῖσα παρὰ θεοῦ τοῖς ἀνθρώποις πορεία οὔτε πλούτῳ μᾶλλον ῥᾳδία, ἀλλ' ἀμφοτέρως ἔνεστι τοῖς γε σπουδαιοτάτοις τὴν προ- 20 κειμένην τεμεῖν ὁδόν. πενία μὲν γὰρ διὰ καρτερίας καὶ ἐλευθεριότητος, πλοῦτος δὲ διὰ μετριοφροσύνης καὶ τοῦ προτιμᾶν τῶν δοθέντων τὸν δεδωκότα κατορθώσειεν ἂν τὸ σπουδαζόμενον, ὡς μήτε τὸν πτωχεύοντα δυσχερείας ἄνευ καὶ πόνων ἐπιβάλλειν τῷ κατορθώματι, δεῖσθαι δὲ προσεχείας (εἰ καί τις αὐτῷ πρό- 25 σεστιν ἀφροντιστία) πρὸς τὸ μὴ τῆς πτωχείας χάριν ἀνελεύθερόν τι μὲν δρᾶσαι, ἀγανακτήσαντα δὲ πρὸς ταύτην διελέγξαι τὴν οἰκείαν πρόθεσιν ὡς μᾶλλον ἂν θεοῦ τιμῴη τὰ πρὸς αὐτοῦ διδόμενα — μήτε τὴν περιουσίαν πλείστην κεκτημένον ὠνίου τρόπον ἑαυτῷ δύνασθαι εὐσέβειάν τε καὶ ἀρετὴν πορίσασθαι, ἀλλὰ πλείονος ἱδρῶτος 30 πρὸς τοῦτο δεῖσθαι. χειμάζεσθαι γὰρ μᾶλλον τὸν τοιοῦτον εἰκὸς τὴν διάνοιαν, τῇ φροντίδι μεριζόμενον πρός τε τὰ ἐκτὸς πρός τε τὰ περὶ τὴν ψυχήν, ὡς, εἰ μὴ πάρεργον εἶναι παντελῶς τὸν πλοῦτον οἰηθείη, ἔργον δὲ μόνον τὴν πρὸς θεὸν φιλίαν, βαπτισθήσεται πρὸς ἄνοιαν παντελῆ, μὴ συνιεὶς ὡς τὸ πρῶτον καὶ μόνον 35 ἀγαθὸν ἐάσας δουλεύει νεκρῷ πλούτῳ, ὃν ἀπολιπὼν ἄλλοις οἰχήσεται. ἀκίνδυνος μὲν οὖν ἐπ' ἴσης οὔτε πλουσίῳ οὔτε πένητι τῆς ἀρετῆς ἡ πορεία οὐ μὴν οὐδ' ἀνέφικτος οὐδενὶ τούτοιν, ἀλλήλων δὲ διαφέρουσι μόνον τῇ τῶν ἔξωθεν περιβολῇ,

μηδὲν ἐχούσῃ πλέον πρὸς τὸ προκείμενον, 16. ἀναγκαίως καὶ τοῦτο τῆς τοῦ θεοῦ σοφίας διαθείσης. ὅ τε γὰρ πένης διαγυμνάζεται πρὸς καρτερίαν, πλοῦτον παρ' ἄλλῳ βλέπων, καὶ ὁ πλούσιος δοκιμάζεται τὴν γνώμην τῇ τοῦ πτωχεύοντος εὐτελείᾳ.
5 πλοῦτος μὲν γὰρ μὴ παρακειμένης πτωχείας ἄχρηστος (τίνα γὰρ εὖ ποιήσει;) καὶ πενία ἀδόκιμος, μὴ ἀντικειμένου πλούτου. ὅλως δὲ οὔτε τὸ πλουτεῖν μακάριον οὔτε τὸ πένεσθαι ἐλεεινόν, ἐπειδή γε μόνος ἐκεῖνος μακάριος, ᾧ πρόσεστιν ἡ βέβαιος τῆς ψυχῆς κατ' ἀρετὴν εὐπραγία (κἂν τε πλούσιος κἂν πένης ὑπάρχῃ
10 ὁ τοιοῦτος), ἧς ἕνεκεν πρὸς θεοῦ ἄνθρωπος γεγένηται, ὡς δέον παρὰ μὲν θεοῦ τὸ εἶναι λαβεῖν, παρ' ἑαυτοῦ δὲ τὸ ἀγαθὸν προσγενέσθαι λαβεῖν, συνεργοῦντος θεοῦ· βούλεται γὰρ θεὸς καὶ παρ' αὐτοῦ τὸν ἄνθρωπον ἔχειν ἂν τὸ λογικὸν ὄντα πρὸς ἔνδοξον παρρησίαν. ὥστε οὐ θαυμάσομεν οὐδὲ μακαριοῦμεν
15 ἄνδρα πλούσιον κακοπραγοῦντα οὐδὲ διαπορήσομεν, ὅτι πλουτεῖ τοιοῦτος ὤν, πρὸς τὴν τοῦ θεοῦ πρόνοιαν. τί γὰρ ὑπάρχει πλέον ἀνδρὶ πονηρῷ πλουτοῦντι; τί δὲ οὐκ ἔλαττον αὐτῷ πρόσεστιν; ἀγρυπνίαι μὲν καὶ κίνδυνοι διὰ τὰ χρήματα, λύπαι δὲ τῶν ἀναλισκομένων μείζους ἤπερ ἡδοναὶ τῶν ποριζομένων. οὐ γὰρ
20 οὕτω τὸ παρὸν εὐφραίνει, ὡς τὸ ἀπὸν λυπεῖ, καὶ ἀεὶ τὰ τῆς ἐπιθυμίας συναύξεται τῷ πλούτῳ, ὡς τὸν λογισμὸν ἀδιαλείπτως συνοικεῖν ἀσχέτῳ πάθει, τὸ δὲ σῶμα πολλάκις συγκατατήκεσθαι τῷ λογισμῷ. τὸ δὴ δοκοῦν πλεονέκτημα τοῦ περιουσίαν κεκτημένου χαλεπώτερον τυγχάνει ἢ μειονέκτημα. τρυφῶν γὰρ καὶ
25 εὐνῆς ἁπαλότητι χρώμενος εἰς ἀρρωστίας ἔστιν ὅτε ποικίλας ἐμπίπτει, τοῦ πένητος τῇ ξηρότητι τῆς ἀναγκαίας διαίτης τὸ ὑγιαῖνον τῷ σώματι ποριζομένου. καίτοι τίς ἂν φαίη ὡς οὐχὶ τὸ σῶμα τῶν ἐκτὸς προτιμότερον; εἰ δὲ τοῖς τὰ ἀναγκαῖα μετρίοις ἐρρωμενεστέρα τοῦ σώματος ἕξις διαμένει, τοῖς δὲ πρὸς
30 ἄμετρον τρυφὴν κεχαλασμένοις συγκατάγεται καὶ τοῦ σώματος ὁ τόνος, πῶς οὐκ εὔδηλον ὡς κατὰ τοῦτο καὶ ἔλαττον τῆς πενίας ὁ πλοῦτος; πλὴν εἰ μή τις εὑρεθείη καὶ τῶν ἀναγκαίων προσδεής, ὅπερ οὐδέποτε τῷ κατ' ἀρετὴν σπουδαίῳ συμβαίνει. ἆρα δὲ τῶν πολυτελῶν ἐδεσμάτων ἡ ἡδονὴ συνδιαμένει τῇ
35 αἰσθήσει τῶν ἀεὶ κεχρημένων ἢ δὴ λίαν εὐτελίζεται τῇ χρονίᾳ συνηθείᾳ; ὡς μηδὲν ἔχειν τοὺς τοιούτους πλέον, ὅπερ εἰς τρυφὴν προσαγάγωνται. ἀεὶ γὰρ τὸ σύνηθες εὐκαταφρόνητον. τῷ δὲ πένητι τὸ μὲν εὐτελὲς διὰ τὴν ὑγείαν ἥδιστον, τὸ δὲ πολυτελὲς (εἴ ποτε γένοιτο) ξένον καὶ καινότατον εἰς ἀνειμένην ἀπόλαυσιν·

ὥστε κατὰ τοῦτο τοῖς ὀρθοῖς λογισμοῖς ὁ χρώμενος εὕροι ἂν πλέον ἔχοντα τοῦ πλουσίου τὸν πένητα. **17.** νόσος δὲ καὶ ὑγεία παραπλησίως ἀναγκαῖα· ἥ τε γὰρ ὑγεία πρὸς ἀδικίαν τοῦ ἔργου τῆς ἀρετῆς ἥ τε νόσος ἔστιν ὅτε πρὸς ἀνατροπὴν ἁμαρτίας. βοηθεῖται γὰρ πολλάκις ὁ λογισμὸς τοῖς ἔξωθεν κ[ωλ]ύμασιν, 5 ἄλλως τε τῶν ἀρρωστημάτων ἡ πεῖρα τῆς τοῦ ὑγιαίνειν εὐεργεσίας ἀναμιμνήσκει πρὸς εὐλάβειαν. ἣν δ' ἂν καὶ λίαν εὐκαταφρόνητος, εἰ καθ' ἑαυτὴν καθ' ὅλου διέμεινε τῷ μηδὲν ἐνδέχεσθαι παρεμποδίζειν αὐτήν. εἰ δ' ὁ μὲν ἐπιεικὴς νοσοίη, ὑγιαίνοι δὲ ὁ θρασύς, ὁ μὲν κατέχεται τῷ κ[ωλ]ύματι, βοηθούμενος 10 πρὸς τὸ ἄμεμπτον τῆς ἑαυτοῦ ζωῆς, ὁ δὲ παραδέδοται τῷ πλημμελεῖν ὡς ἀπεγνωσμένος. εἰ δ' αὖθις ὁ θρασὺς καὶ λίαν ἀσεβὴς [νόσῳ] περιπίπτοι, ὁ δὲ ἐπιεικὴς ὑγιαίνοι, ὁ μὲν οὐχ ἵνα βοηθηθῇ πρὸς αἴσθησιν κολάζεται, ἀλλ' ἵνα χρησιμεύσῃ τοῖς ὁρῶσι πρὸς ὑπόδειγμα, ὁ δὲ ὡς δίχα δεσμῶν ἡμέρως ἀναστρέφειν 15 δυνάμενος ἄνοσος διαμένει. καὶ ὅλως ἑκάτερα πανταχοῦ χρήσιμα καὶ ἄθλιος ὁ τὴν πρόνοιαν ἐντεῦθεν ἀρνούμενος ἢ διαβάλλων· μόνη γὰρ ὀλέθριος ἐκείνη νόσος ἡ τὴν διάθεσιν τῆς ψυχῆς πρὸς ἀποτροπὴν ἀρετῆς κακοῦσα. οἷς οὖν ὁ λογισμὸς ἀθῶος διαμένοι, εἴτ' οὖν νοσοίη εἴτ' οὖν καὶ ὑγιαίνοι τὸ σῶμα, αἰ- 20 σθήσονται ἑκατέρου τὸ χρήσιμον. εἰ γὰρ μὴ πάντως κολάζοι τὸν κακοπραγοῦντα νόσος, ἐπειδὴ καὶ τοὺς νόμους ἔστιν ὅτε διαφεύγουσι κακοῦργοι, ἆρ' οὖν οὐκ ἂν εἴη διὰ τοῦτο κώλυμα τῆς κακουργίας ὁ νόμος, ἐπειδὴ μὴ διὰ πάντων πρόεισι τῶν ὑποκειμένων, ἢ τὸ θαῦμα τῆς τοῦ θεοῦ σοφίας ἐντεῦθεν ὡς πανταχόθεν 25 ἀναδείκνυται; εἰ μὲν γὰρ πάντως δῆλον ἦν ὡς οὐδαμῶς ἐνδέχεται διαφεύγειν τῶν νόμων τὴν κόλασιν τὸν ὁτιδήποτε τῶν ἀπη[γο]ρευμένων διαπραττόμενον, κίβδηλον ἂν καὶ λίαν ἀδόκιμον ἦν τὸ ἄπρακτον τῆς ἁμαρτίας· πάντες γὰρ ἂν δέει τῆς τιμωρίας, οὐχὶ μίσει τῆς κακουργίας, ἀπείχοντο· χρὴ δὲ τὸν 30 σπουδαῖον μισεῖν τὸ ποιῆσαι μᾶλλον ἢ [τὸ] παθεῖν, κἂν μὴ δικαίως συμβαίνοι. ἐντεῦθεν διαφεύγουσι τοὺς νόμους τῶν κακούργων οἱ πλείους, ἐπειδή γε κόλασις οὐχ αὕτη τῶν ἁμαρτανόντων ἐστίν, οἴησις δὲ μόνον τιμωρίας. θάνατος γὰρ ὁ κατὰ φύσιν καὶ δίχα κολάσεως ἂν ἐπέλθοι, ὥστε ἄλλη μὲν ἐστὶ τοῖς παρανομοῦσιν 35 ἡ ἄφυκτος τιμωρία, διαφεύγουσι δὲ τὴν ἐφ' ἡμῶν οἱ πλείους, ἵνα τὸ ἐνδεχόμενον τοῦ λαθεῖν βάσανος γένηται τοῦ ἀνθρωπίνου λογισμοῦ. καὶ καθ' ὅλου ἐπί τε κλέπτοντος καὶ ψευδομένου καὶ τὰ μείζω τῶν κακῶν δρᾶν ἐπιχειρούντων τὸ ῥηθὲν παρεκτείνεται.

18. φαίη δ' ἄν τις ὡς πλέον ἂν ἐβασανίσθη τῶν ἀνθρώπων ἡ πρόθεσις, εἰ μηδεὶς κακοῦργος ἐλεγχόμενος ἐτιμωρεῖτο, γέγονε δὲ τοὐναντίον ἄντικρυς προτροπὴ τοῦ κακοπραγεῖν τὸ μὴ καταλαμβάνεσθαί ποτε πρὸς τῶν νόμων ἐνίους τῶν μετιόντων τὰ
5 κακά· ὅθεν ἑκάτερον ἀναγκαῖον, καὶ τὸ παρεμπίπτειν τὸν κακοῦργον εἰς ἀνατροπῆς ὑπόδειγμα καὶ [τὸ] διαφεύγειν εἰς βάσανον λογισμοῦ. ἐλευθεριάζοντι γὰρ τῷ ἀνθρώπῳ πρὸς αἵρεσιν ἀρετῆς καὶ κακίας, οὕτω πρὸς θεοῦ γενομένῳ, ἔξωθεν προσυπάρχει καὶ τὸ βοηθεῖσθαι καὶ ἐρείδεσθαι τρόπον τινὰ τὴν διάνοιαν, οἷον διὰ φόβου καὶ
10 ἀφοβίας, προτροπῶν τε καὶ ἀποτροπῶν, νόσου τε καὶ ὑγείας, πενίας τε καὶ πλούτου. καὶ πάντα τὰ ἀντικεῖσθαι ἀλλήλοις δοκοῦντα συμφώνως πρὸς ἓν τείνει, ὡς ἂν τὸν ἀνθρώπινον νοῦν διαγυμνάζοι μηδὲν ἀποκαθεύδειν, ἐντεῦθεν δὲ κἀκεῖθεν κατακρουόμενον διεγρηγορέναι πρὸς τὸ ἔργον τῆς εὐσεβείας καὶ τῆς
15 ἀρετῆς. **19.** εἰ δὲ καὶ κολάζεσθαί τινα συμβαίνοι οὐκ ἀναίτιον μόνον ἀλλὰ καὶ θαυμάσιον ἄνδρα, καὶ δίκην ἀρετῆς ἀπαιτεῖσθαι τοῦτον, τί ἂν βλάβος προσαγάγοι τῷ πάσχοντι; διελέγχει μὲν γὰρ τοὺς ποιοῦντας, οὐ βλάπτει δὲ τὸν ὑπομένοντα, κἂν ἕως θανάτου φέρηται τὰ τῆς ἀλόγου τιμωρίας. φθάσας γὰρ ὅ γε
20 τοιοῦτος νεκρότητι τὰ πρὸς τὸν βίον μεμελέτηκεν. ᾧ γὰρ μηδὲν μὲν ἡδὺ τῶν τοῖς πολλοῖς ἢ ἀηδές, πῶς οὐχὶ νεκρὸς τοῦ βίου καὶ πρὸ θανάτου ὅ γε τοιοῦτος καθέστηκεν; εἰς χάριν τήν γε νομιζομένην ἐπιβουλὴν δεχόμενος, ᾗ μετὰ τὸν παρόντα βίον προσδοκᾷ μείζοσιν ἀγαθοῖς ἐντεύξεσθαι ὧν ἀπολιπεῖν δοκεῖ,
25 ἐφ' ἃ πρὸς τῶν ἐχθρῶν ταχέως παραπεμπόμενος ὡς εὐεργέτας τοὺς ἐπιβουλεύοντας ἔχει. καὶ ἄλλως ἐν ἀνθρώποις ἀναγκαία τῆς βασάνου ἡ παρὰ τοῦ θεοῦ συγχώρησις, ὡς ἂν δοκιμωτέρα τυγχάνοι ἡ αἵρεσις τῆς ἀρετῆς, εἰ μηδὲ θάνατον εὐλαβοῖτο.
20. πονηροὺς δὲ καὶ πλεονεκτικοὺς ὅταν ἴδωμεν ἔστιν ὅτε κρα-
30 τοῦντας καὶ τὰς ἀρχὰς πιστευομένους, ἰστέον ὅτι συγχώρησίς ἐστι καὶ τοῦτο τῆς οἰκονομίας τοῦ θεοῦ. ἐπειδὰν γὰρ τὰ τῆς ἁμαρτίας πλεονάζῃ τῶν ἀρχομένων, κόλασις ἂν γένοιτο δικαία τῶν ἀρχόντων ἡ ἀδικία, τιμωρουμένων ἃ πράττουσι καὶ κολαζόντων ἃ ποιοῦσιν· ὡς ἂν γένοιτο μάλιστα δῆλον ὅτι παρανο-
35 μία ἀτιμώρητος οὐκ ἔνι. ὀρθότης μὲν δικαστοῦ δόξειεν ἄν, ἐπειδή τι μὴ πράττει κακόν, τοὺς ποιοῦντας κολάζειν· εἰ δ' αὐτὸς ὁ δικάζων τῶν γε τοιούτων ἀπαρχόμενος τοὺς τὰ αὐτὰ μετιόντας κολάζει καὶ μάλιστα δαψιλέστερον, ὡς ἂν πείθοι μηδὲν αὐτὸς φαῦλον διαπράττεσθαι, ἄντικρυς κρατοῦν καὶ λίαν φοβερὸν

ἀναφαίνεται τὸ δίκαιον πρὸς τὸ δίκην ὑπομένειν τοὺς διὰ σκαιότητα τρόπων τοιούτοις ἄρχουσι δικαίως περιπίπτοντας· ἀποφάσεις γὰρ καὶ τοιαῦται σαφεῖς παρὰ θεοῦ κατὰ τῶν ἁμαρτανόντων ἐν γραφαῖς ταῖς ἁγίαις γεγένηνται. **21.** ὁ μέντοι χαλεπώτατα μανείς, ἵνα παρ' αὐτῷ κρατήσῃ τὸ δόγμα τῆς ἀγενήτου 5 κακίας καὶ τῆς κατὰ θεοῦ βλασφημίας, οὐδὲν ἀσυκοφάντητον καταλέλοιπε τῆς τοῦ θεοῦ διοικήσεως. πολλάκις δὲ ἔστιν ἰδεῖν καὶ δικαίους ἡμαρτηκότας ὑπὸ ἀσεβεῖς γενομένους, ὥσπερ εὐγενῆ παῖδα πατρὶ μὴ πειθόμενον διὰ ξένου τυπτόμενον, ἵνα μετὰ τῆς ἀλγηδόνος τῶν πληγῶν καὶ ἡ ἀτιμία τοῦ διακονουμένου μεταβάλῃ 10 τὸν πλημμελοῦντα. ἓν γάρ τι καὶ μόνον ἔφαμεν καὶ ἀληθές ἐστιν, ὡς ὁ πρὸς θεοῦ γενόμενος ἄνθρωπος ἀπαιτεῖται κατὰ τὸν βίον τὸ συνέσει λογισμοῦ κατορθῶσαι, τὸ κατὰ μηδὲν ἀδικεῖν τὴν ἀρετήν· ᾧ δή τις προσέχων καὶ μόνῳ, μηδὲν ἕτερόν τι κατὰ τὸν βίον ἔχῃ. τοῦτο τοίνυν εἰ δι' ὅλου τοῦ περὶ προνοίας λόγου 15 μνημονεύοιτο, οὐδὲν ἂν ὑποπτεύοιτο πρὸς ἀνισότητα καὶ ἀταξίαν τῶν πρὸς θεοῦ διοικουμένων. εἰ μὲν γὰρ εὕροι τις ἂν ὡς ἄλλῳ μὲν ἀνεῖται τῆς εὐσεβοῦς ἀρετῆς ἡ πορεία, ἄλλῳ δὲ ἀποκέκλεισται, ἐνταῦθα πρὸς τὸ νῦν κεφάλαιον τῶν ἀγαθῶν καὶ ἡ ἀνισότης διαβολὴν ἂν ἔχειν ἔδοξε τῆς διοικήσεως· εἰ δὲ δι' οὗ 20 καὶ μόνου γένοιτ' ἄν τις ὡς ἀληθῶς μακάριος, τοῦτο κοινὸν ἐπ' ἴσης πρὸς ἐξουσίαν τοῖς ἅπασι πρόκειται, ποίαν διαφορὰν εἴποιεν ἄν τις (κἂν ᾖ φιλαίτιος) ἢ ἀνισότητα, ὁπότε τῶν ἐκτὸς αἱ πλεονεξίαι αὖθις πρὸς ἰσότητα τοῖς λογισμοῖς ἀνακλῶνται; ὡς οὐκ ἔλαττον μὲν ἢ καὶ μᾶλλον ἡδομένου τοῦ πένητος οἷς προ- 25 σφέρεται τροφίοις τοῦ πλουσίου. καὶ τὰ περὶ σκέπην δὲ ὁμοίως ἔχει, κἂν ἧττον ὑπάρχῃ τίμια. καὶ τύπος αἰσθήσεως τὰ συνήθως παρακείμενα, ὡς μηδένα τοῦ πλείονος ἐπαισθάνεσθαι, διὰ τῆς συνηθείας τῆς αἰσθήσεως ἀμαυρουμένης, μηδὲ ἄλλον τοῦ ἐλάττονος, καὶ τούτου διὰ συνηθείας τὸ ἐνδέον πρὸς τὴν αἴσθησιν 30 μὴ ἄγοντος. αὐτίκα βάρβαροι, γυμνοί τό τε πλέον τοῦ σώματος διάγοντες καὶ ἄστρωτοι καθεύδοντες καὶ λυπροῖς ἐδέσμασι διαιτώμενοι, οὐκ ἠνέσχοντο πώποτε καταλιπεῖν τὴν φίλην δίαιταν ὡς διὰ τῆς συνηθείας τὸ ἐνδέον αὐτῶν μηδὲ καθορῶντες, μᾶλλον δὲ ταύτην μηδ' ἀπολιπεῖν οἷοί τε ὄντες· ἢ θᾶττον μὲν ἂν καὶ 35 τὸ ὑγιαίνειν καταλίποιεν, θᾶττον δ' ἂν καὶ τὸ πρὸς κρυμοὺς καὶ ἡλιακὴν φλόγα καρτερεῖν ἀποκτήσαιντο. καὶ πρός γε τὸ ζῆν οὐδεὶς οὐδενὸς πλέον ἔχει κατὰ τὸν βίον. κοιναὶ μὲν γὰρ πᾶσιν αἱ φυσικαὶ διαναπαύσεις ἀνακλίσεών τε καὶ ὕπνων, κοιναὶ δὲ

τροφαὶ καὶ ἀπολαύσεις. εἴ τις τὸ μὲν διάφορον συνετῶς παρέλ-
θοι, τὴν δὲ χρῆσιν τῇ αἰσθήσει δοκιμάζοι· κοιναὶ δὲ οὐκ ἔλατ-
τον ἀκριβῶς καὶ αἱ λῦπαι ψυχῶν τε καὶ σωμάτων. καὶ μᾶλλον
εὑρεθείη τις ἂν τούτων ὑπερβολὴ παρὰ τοῖς πλέον τι κατὰ τὸν
5 βίον ἔχειν δοκοῦσιν· ὥστε καὶ τούτων κατὰ τὸ ἀληθὲς οὕτως
ἐχόντων, ποῦ ἂν εἴη τὸ ἄνισον τῆς τοῦ θεοῦ διοικήσεως, ποικι-
λίαν, οὐκ ἀνισότητα τοῖς καθ' ἡμᾶς ἀντιθέντος; ἕτερον γὰρ τυγ-
χάνει ποικιλία σοφίας ἐν κόσμῳ διαπρέπουσα καὶ ἕτερον ἀταξία
διοικήσεως. εἰ δέ τις εὕροι ἂν τοὺς μὲν ἀπαθεῖς φύσει τῶν
10 ἀνθρώπων, τοὺς δὲ ἐμπαθεῖς καθ' ἑκάτερον, ψυχήν τε καὶ σῶμα,
καὶ τοὺς μὲν ἄνευ τροφῆς, [τοὺς δὲ μετὰ τροφῆς,] ἢ τοὺς μὲν
ἀνεπιδέκτους κακίας, τοὺς δὲ δεκτικούς, ἔτι μὴν τοὺς μὲν θνη-
τούς, τοὺς δὲ ἀθανάτους, καλῶς ἂν ὁ τοιοῦτος ἀταξίαν τε καὶ
ἀνισότητα κατείποι τῆς διοικήσεως, ὡς ἀποκληρώσει τινὶ μᾶλλον
15 ἢ λόγῳ τοῦ θεοῦ τὰ καθ' ἡμᾶς διοικοῦντος. εἰ δὲ τρόπος μὲν
ὁ αὐτὸς τοῖς πᾶσι γενέσεως, μία δὲ καὶ ἡ αὐτὴ τῆς φύσεως ἡ
ἀνατροφή, τῶν δὲ ἀναγκαίων (ὧν ἄνευ συστῆναι ἀδύνατον) κοινὴ
τοῖς ἅπασιν ἐπ' ἴσης ἡ χορηγία, τέλος δὲ τῶν ἁπάντων ἓν καὶ
μόνον, τῆς ἰσότητος πρὸς ἄκραν ἀκρίβειαν ἐν ἅπασι φαινομένης,
20 ἢ τυφλὸς παντελῶς ὁ διαβάλλων εἰς ἀταξίαν τοῦ θεοῦ τὴν
πρόνοιαν ἢ ἐχθροῖς ὄμμασι καθορῶν τὰ πράγματα, ἥκιστα πιστεύ-
εται δίκαιος. εἰ γὰρ ἡ διαφορὰ τὴν ἀταξίαν ἔχει, τὸ κόσμιον
τῆς ποικιλίας, τεχνίτῃ γε πανσόφῳ λίαν ἁρμόττον, ὁ τοιοῦτος
διαβάλλει καὶ προϊὼν κακιζέτω καὶ τὸ ποικίλον τῶν χρωμάτων
25 καὶ τῶν ἐδεσμάτων καὶ πομάτων τὸ διάφορον, ἅπερ ἀναλαμ-
βάνει γε θαυμασίως τὰς αἰσθήσεις τῶν προσφερομένων. ἐντεῦ-
θεν ἐξῆλθον οἱ λίαν ἀθλιώτατοι πρὸς εἱμαρμένην, τὸ ἄτοπον
τῆς ἀνισότητος διὰ ταῖν δυαῖν ἀρχαῖν βεβαιοῦν δοκοῦντες, ἀλλὰ
δέδεικται μὲν τοῖς ἔμφροσιν ὡς οὐδεμία τις ἀνισότης ἔνεστιν
30 ἐν τοῖς καθ' ἡμᾶς. **22.** ἐπειδὴ δὲ καὶ τοὺς πολέμους τῇ κακίᾳ
προσνέμουσι, τίνα τρόπον εἱμαρμέναι διάφοροι κατ' αὐτοὺς
πολλῶν ἔστιν ὅτε χιλιάδων ὑφ' ἕνα καιρόν, μᾶλλον δὲ ὑπὸ
μίαν ὥραν πιπτουσῶν; ἆρα μία τις εἱμαρμένη συνάπτει τούτους
ὑφ' ἑαυτῇ; καὶ πῶς οὐ πάντῃ τοῦτό γε ὑπολαμβάνειν γελοιότα-
35 τον; ὅθεν τὸ μὲν ἄνισον τῆς εἱμαρμένης (τὸ χαλεπὸν τῶν πεπλα-
νημένων νόσημα) χώραν ἐν τοῖς πράγμασιν οὐκ ἔχει, πόλεμοι
δὲ τὴν μὲν ἀρχὴν ἐκ πλεονεξίας λαμβάνουσι, τὴν δὲ ἐνέργειαν
πρὸς θεοῦ συγχωρουμένην ἔχουσι. κακὸν μὲν γὰρ τούτων ἡ
ἀφορμή (λέγω δὴ τῆς πλεονεξίας ἡ ἐπιθυμία), ὅπερ ἀνθρώπων,

ἀλλ' οὐχὶ θεοῦ πλημμέλημα τοῖς ἔμπροσθεν δέδεικται, θάνατος
δὲ τῆς φύσεως οὐ κακός. γένεσις γὰρ καὶ θάνατος πρὸς θεοῦ
φύσει νενομοθέτηται, οὐ τῶν γε τελευτώντων ἀπολλυμένων, ἀλλὰ
τῶν γινομένων τοῖς οὖσι προστιθεμένων· ἀγαθοῦ γὰρ οὐκ ἂν
εἴη τὸ μόνοις τοῖς οὖσιν ἀνθρώποις τὸ εἶναί τε καὶ γεγονέναι 5
δωρεῖσθαι, ἀλλὰ καὶ τοὺς μὴ ὄντας προκατασκευάζειν τοῖς οὖσιν,
ὡς ἂν οἵ τε γενόμενοι διαδραμόντες αὐτάρκως τοῦ βίου τὸ στά-
διον, ἀντὶ ἀναπαύσεως τοῦ δρόμου τὸν θάνατον λάβωσιν (οὐκ
εἰς ἀπώλειαν αὐτοὺς ἄγοντα, ἀλλ' ἑτέρωσε κατὰ τὴν ἀξίαν
ἑκάστου μετάγοντα) οἵ τε μὴ ὄντες πάροδον εἰς τὸ γενέσθαι 10
λάβωσιν. οὐκοῦν θάνατος ὁ τῇ φύσει νενομοθετημένος οὐ πο-
νηρός, κἂν ὁπωσοῦν ἐπίοι. οὐδὲ γὰρ τὸ διάφορον τῶν περιστά-
σεων δι' ὧν ἔπεισιν ἐξεταστέον, ἕνα δὲ τρόπον κοινὸν τοῖς
πᾶσιν ὄντα γνωστέον, λέγω δὴ τὸ μὴ δίχα περιστάσεώς τινος
καὶ ἀνάγκης ἀναχωρεῖν ψυχὴν ἀπὸ σώματος, ἀλλὰ παραμένειν 15
ἕως ἂν τὸ φυσικὸν αὐτῆς καταγώγιον ἀκαθαίρετον διαμένοι.
τούτῳ μέντοι τῷ φυσικῷ καὶ κοινῷ συνυπάρχει τι δέος, ὅπερ
εἰς τιμωρίας ὑποψίαν ἀναγκαίως παρείληπται, οὐ μέντοι ἐν τοῖς
πᾶσιν, ἀλλ' οἷς γε ἡ διάνοια πρόχειρος εἰς ἁμαρτίαν, πρὸς ἀνα-
τροπὴν ταύτης, ὁ μὲν γὰρ ἔμφρων κατ' ἀρετὴν ἀρά γε τοῦ 20
πλημμελεῖν καὶ τοῦ οἴεσθαι μοχθηρὸν εἶναι τὸν θάνατον ἀπήλ-
λακται, ὁ δὲ φιλαμαρτήμων ἀπὸ μὲν τῆς αὐτῆς ἀνοίας ἀφ'
ἧσπερ καὶ πλημμελεῖ, τὸν θάνατον εὐλαβεῖται. ἀναγκαῖον μέντοι
τῆς ἀνοίας ἔχει τὸ τοιοῦτον παρακολούθημα, ἵνα τὸ ἀδεὲς δε-
διώς, ο[ὗ] προσῆκεν ἀληθῶς δεδιέναι (λέγω δὴ τῆς ἁμαρτίας) δια- 25
φύγῃ τὴν βλάβην. ἐπειδὰν οὖν πλεονάσῃ παρ' ἔθνεσι τὰ τῆς
ἁμαρτίας, ἧς γε τυγχάνει ἓν εἶδος τὸ τῆς ἀπληστίας, ἑαυτοῖς
παραίτια γίγνεται τῆς κατὰ τὸ φαινόμενον τιμωρίας, ἥτις κατὰ
μὲν τὸ ἀληθὲς ὡς οὐκ ἂν εἴη τιμωρία λέλεκται, φύσει κοινῇ
κατὰ πάντων ὡρισμένη, εὐεργετεῖ δὲ τούς τε πίπτοντας ἐν πο- 30
λέμῳ καὶ τοὺς διασωζομένους, τοῖς μὲν ἁμαρτίας τέλος παρέ-
χουσα, τοῖς δὲ ὑπόδειγμα δέους ἐμποιοῦσα· εὐεργετεῖ δὲ κἂν
δίκαιοι τῷ πλήθει συναπέλθωσιν· ὡς γὰρ τοῖς ἀδίκοις τέλος τῆς
ἀδικίας ὁ θάνατος, οὕτω δὴ καὶ δικαίοις ὡς νικηταῖς τρόπον
τινὰ στεφάνων ἀρχή· ὥστε θαυμάσιον διὰ τῆς πανσόφου προ- 35
νοίας τοῦ θεοῦ συμβαίνει· τὸ γὰρ δοκοῦν κολάζειν εὐεργετεῖ
καὶ οὐδὲ δι' ὧν αὐτὸς ἄντικρυς κατασκευάζει ἀνιαρῶν εἶναι
δοκούντων, ἀλλὰ δι' ὧν ἀνθρώποις αὐτομολοῦσι συγχωρεῖ· ὥστε
πόλεμος οὐκ ἔργον θεοῦ ἀλλὰ συγχώρησις ἀναγκαία, εἰς μὲν

ὑποψίαν τιμωρίας κατὰ τῆς ἁμαρτίας, κατὰ δὲ τὸ ἀληθὲς εἰς
τέλος αὐτῆς, ἔνθα κἂν δίκαιος πέσῃ (δίκαιον δὲ πολεμεῖν ἀπει-
κός) μειζόνως εὐεργετεῖται. μεῖζον γὰρ τοῦ παυθῆναι κακίας
τὸ καρπῶν ἀπολαῦσαι τῶν τῆς ἀρετῆς πόνων, ὅπερ εὐσεβέσι
5 μετὰ θάνατον ὑπάρχει. **23.** οἱ δὲ πρὸς ταῦτα διαμαχόμενοι,
πρὶν τὸ καθ' ὅλου διελέγξαι κακόν, τὸ μέρος διαβάλλουσιν. εἰ
γὰρ ὡς ἀπὸ κακίας ὑφεστηκυίας καὶ ἀρχῆς ἀνάρχου τοὺς πολέ-
μους ἡμῖν κατακομίζουσιν, αὐτόν γε τὸν θάνατον καὶ μόνον κα-
κίσαι προσῆκον ἦν αὐτοῖς. περιττὸν γὰρ τὰς προφάσεις ἐξετάζειν,
10 τοῦ ἀναγκαίως συμβαίνοντος ἀκρίτου μένοντος. πῶς δ' ἂν τὸν
θάνατον κακίσαι δυνηθεῖεν, ἀπολύοντά γε τῆς ὕλης (κατὰ τὸν
λόγον τοῦ ἀπατεῶνος) τὴν ψυχήν; ὥστε κατὰ μὲν τὴν κοινὴν
δόξαν ἥκιστά γε θάνατος κακόν. τὸ γὰρ ἀναγκαίως τοῖς πᾶσι
συμβαῖνον οὐ κακόν. μάτην αὐτὸν διὰ τοὺς πολέμους διαβάλ-
15 λουσιν, οὐδὲν πλέον ἐπάγοντα τῶν κατὰ φύσιν ἀποκειμένων.
εἰ δέ τις τὴν πρόφασιν αὐτὴν τῶν πολέμων κακίζοι, εἴτ' οὖν
ὀργὴν εἴτ' ἔχθραν εἴτε καὶ πλεονεξίαν, οὐκ ἂν διαμαρτάνοι τοῦ
πρέποντος· ἀνθρώποις μέντοι λογιστέον τοῦτό γε, μοχθηρίᾳ προ-
θέσεως οὕτω διατεθειμένοις. ὅτι δὲ ὁ θάνατος ἥκιστα κακός,
20 δειχθείη μάλιστα ἂν ἐκείνως. εἰ γὰρ μὴ κατὰ πάντων ὥριστο,
ὅ τε δίκαιος διὰ παντὸς ἂν ἐπόνει πρὸς ἀρετήν, οὐδὲν πλέον
τῶν ἱδρώτων καρπούμενος, ὅ τε ἄδικος ἐν ἡδοναῖς ἂν τῶν
ἁμαρτημάτων ἀθάνατος διῆγεν· καὶ ἦν ἂν ἑκάτερον λίαν ἄτοπον.
ὁ δὲ θάνατος καὶ τὴν ἄδικον ἡδονὴν τῷ πλημμελοῦντι κατα-
25 στέλλει καὶ τὸν δίκαιον πόνον τῷ δικαιοπραγοῦντι καταπαύσει.
ἐπειδὴ γὰρ ἀναγκαῖον ἀνθρώποις τὸ δύνασθαι ἁμαρτάνειν, αἴτιον
ὂν τοῦ δύνασθαι κατορθοῦν, ἡ δὲ ἐξουσία παρὰ θεοῦ δοθεῖσα
πρὸς τὴν καλοῦ κἀγαθοῦ κτῆσιν παρὰ τοῖς πλείοσι πρὸς τὸ
εὔκολον τῆς ἁμαρτίας ἀποκλίνει, ὡς θαυμασιωτέραν εἶναι τὴν
30 ἀρετὴν δυσχερείᾳ συγκεκραμένην, ὠφέλιμός γε ὁ θάνατος ἑκατέ-
ροις, δικαίῳ τε καὶ ἀδίκῳ, τῷ μὲν ἀνάπαυλαν τῶν πόνων, τῷ
δὲ τέλος τῶν ἁμαρτημάτων παρέχων. ἀγαθοῦ τοίνυν εὑρισκο-
μένου (οὐχὶ μόνον μὴ κακοῦ) τοῦ θανάτου, οὐ κατὰ τὸν μανέντος
λόγον, ὡς ἀπολύοντος τῆς μὴ οὔσης ὕλης τὴν ψυχήν, ἀλλὰ τὸν
35 εἰρημένον τρόπον, τοῦ τίνος χάριν ἀρχὴν κακίας ἐπινοήσαιμεν
ἂν τοῖς πολέμοις, οὐχὶ δὲ μόνον τὴν ἄδικον πρόθεσιν τῶν χρω-
μένων διαβαλοῦμεν; τὸ γὰρ ἀποβαῖνον (ὅπερ ἄν τις λογίσαιτο
τῇ προνοίᾳ τοῦ θεοῦ) δίκαιον οὐκ ἐκ πολέμου μόνον, ἀλλὰ κατὰ
πάντα τρόπον καθ' ὅλου τῇ φύσει ἀγαθὸν (οὐ μόνον οὐ κακόν)

τοῖς ἔμπροσθεν ἀπεδείχθη, ὥστε τὸν πόλεμον διαβλητέον, οὐ τὸν ἀποβαίνοντα θάνατον, συμφερόντως κείμενον, ἀλλὰ τῶν χρωμένων (καὶ μάλιστα μὴ δικαίως) τὴν πρόθεσιν, ἧς ὅ γε προνοῶν τῶν καθ' ἡμᾶς ἀναίτιος. **24.** αὖθις ἕτερον εἶδος, ὧν ὁ χαλεπώτατα μανεὶς αἰτιᾶται, σεισμῶν καὶ λοιμῶν καὶ λιμῶν ἀφοριῶν 5 τε καὶ ἀκρίδων καὶ τῶν τοιούτων, ὡς ἐξ ἐναντίας ἀρχῆς καὶ τοῦτο γινόμενον. δῆλον δὲ τοῖς ἅπασιν ὡς ἐν μὲν ταῖς λίαν εὐθυμίαις τε καὶ εὐπραγίαις εἰώθασιν ὡς ἐπὶ τὸ πολὺ πλὴν ὀλίγων πάντες ἄνθρωποι διαχαυνοῦσθαι τὴν διάνοιαν καὶ τοῖς πάθεσιν ὑποκατακλίνεσθαι καὶ μνήμην ἀρετῆς τε καὶ πόνων 10 εὐσεβείας οὐδεμίαν ἔχειν. καὶ τοῦτό γε εἰκότως τρόπον τινὰ συμβαίνει. ἐπειδὰν γὰρ πλησμονὴ σιτίων τε καὶ ποτῶν ἄμετρος διὰ πολλὴν εὐπορίαν ἀνθρώποις ἐγγένηται, γαστρὸς ἐπὶ πλέον πιαινομένης, παχύνεται μὲν ὁ νοῦς, ὑπτιοῦται δὲ ὁ λογισμός, βαρυνομένη δὲ ἡ ψυχὴ τοῖς ἀλογίστοις πάθεσιν ὑποβάλλεται. 15 εἰ δέ τις συμβαίη τῶν κατειλεγμένων συμφορῶν, ἧττον μὲν γαστρὸς φροντίζουσιν ἄνθρωποι, ἧττον δὲ ταῖς ἡδοναῖς δουλεύουσι, σωφροσύνην τε καὶ εὐσέβειαν (ὅση δύναμις) μεταδιώκουσι καὶ βελτιοῦνται τὸν τρόπον, ὡς οἷόν τε, πιεζόμενοι μᾶλλον ἢ εὐθηνούμενοι. ποῖα τοίνυν προσοίσαιμεν τῇ κακίᾳ κατὰ τὸν 20 ἐκείνου λόγον; τὰ τῇ μὲν αἰσθήσει λυπηρά, τῇ δὲ ἐνεργείᾳ λίαν ὠφέλιμα; ποῖα δὲ τῷ ἀγαθῷ; τὰ ἡδέα μέν, ἔστι δ' ὅτε βλαβερώτατα; καὶ πῶς οὐ δόξει παιδαγωγὸς εἶναι μᾶλλον πρὸς ἀρετὴν ἡ κακία τοῦ ἀγαθοῦ; πολλάκις γὰρ οὓς μὴ μετέβαλεν ἐπὶ τὸ κρεῖττον εὐθηνία, μετεποίησέ τις προσπεσοῦσα λύπη καὶ 25 συμφορά. δέονται γὰρ ἄνθρωποι καὶ τοιούτων τινῶν ἀναμνήσεων κατὰ καιροὺς πρὸς τὸ διεγείρεσθαι τὸν νοῦν καὶ τῆς πλείονος ῥᾳστώνης ἀπαλλάττεσθαι. εἰ μὲν γὰρ εὐθηνο[υ]μένους ἦν ἰδεῖν αὐτοὺς τῶν γοῦν μεγάλων ἀδικημάτων ἀπεχομένους, μετρία δὲ πλημμελοῦντας, ἦν ἄν τις εὔλογος καταδρομὴ ὡς οὐ 30 κατὰ λόγον καὶ τῶν τοιούτων συμβαινόντων· εἰ δὲ πρὸς τελείαν τοῦ χορηγοῦντος λήθην τὴν διηνεκῆ τῶν ἀναγκαίων ἀφθονίαν λαμβάνουσιν, ἀναγκαῖόν ποτε καὶ τὸ διεγείρεσθαι ταῖς συμφοραῖς εἰς μνήμην θεοῦ, ᾧγε προσῆκεν ἀδιάλειπτον τῆς ὑπὲρ ἡμῶν κηδεμονίας ὁμολογεῖν τὴν χάριν· ὥστε νουθετῶν θεὸς 35 ἀνθρώπους οἰκονομεῖ τὰ τοιαῦτα, οὐχ ὀργῆς τινος πάθει κατεχόμενος, ἀλλὰ κηδεμονίας καὶ τῆς τῶν δεομένων ἐπιστροφῆς μεταποιούμενος· οὐδὲ γὰρ φιλανθρωπίας τῆς ἀνωτάτω καὶ ἀκριβοῦς ἂν εἴη τὸ ὑποκορίζεσθαί γε χρηστότητι τὰ ἀνθρώπινα πάθη καὶ

τῷ ἀνεπιπλήκτῳ τὴν αὔξησιν αὐτοῖς ἐπιτρέπειν. τοὐναντίον γὰρ
τοῦτο πρὸς ἀπανθρωπίαν ὁρᾷ, εἴγε βουλόμενος τῆς κατὰ τὸ
φαινόμενον μὴ ἐξίστασθαι χρηστότητος, ἐπιβούλως συγχωροίη
πρὸς ἔκλυσιν κακίας πάντη καταπίπτειν τοὺς ἀνθρώπους, λέγω
5 δὲ τὰ χρηστὰ παρέχων καὶ τὰ νομιζόμενα λυπηρὰ ἀναγκαίως
ἐπάγει. οὐδὲ γὰρ πατὴρ πλημμελοῦντα παῖδα τύπτων ἀπάν-
θρωπος· τοὐναντίον μὲν οὖν, εἰ μὴ πρὸς ἐπιστρέφειαν ἄγοι τοῦ-
τον, οὐ δόξει φειδὼ πατρικὴν ἐνδείκνυσθαι. οὐδὲ τέμνων καὶ καίων
ἰατρὸς ἑλκῶν νομάς ἀπάνθρωπος, ἀλλ' ὅσῳ τοῦ λόγου τῆς τέχνης
10 μεταποιεῖται, τοσούτῳ φειδόμενος τοῦ κάμνοντος προσάγει τὴν
ἀλγηδόνα τῶν αὐστηροτέρων βοηθημάτων ὡς ἀπολουμένου μὲν
πρὸς τῶν ἑλκῶν τοῦ κάμνοντος, εἰ μὴ τοῦτον βοηθηθείη τὸν
τρόπον, σωθησομένου δέ, τομῆς τε καὶ καυστῆρος εἰ δέοι προσα-
γομένων. ὥστε κατὰ τὸ ὑπόδειγμα ἄνθρωποί εἰσιν οἱ τά γε
15 ἀνιαρὰ ποιοῦντες καθ' ἑαυτῶν μᾶλλον ἢ ὁ θεός, οἱ τὴν χρείαν
καὶ τοὺς καιροὺς προθέσει γε οἰκείᾳ προκατασκευάζοντες διὰ
τῶν οἰκείων παθῶν. ὡς γὰρ τοῦ καυτῆρος οὐχ ὁ ἰατρὸς ποιεῖ
τὸν καιρόν τε καὶ τὴν χρείαν; ἀλλὰ τὸ ὑποκείμενον ἕλκος καὶ
τὸν ἰατρὸν ἐπείγεται καὶ τὸν καυτῆρα καλεῖ, οὕτω δὴ καὶ τὰ
20 ἀνθρώπινα πάθη προκαλεῖται τῶν εἰς θεραπείαν συντεινόντων
παρὰ θεοῦ τὴν ἐπιμέλειαν, ἥκιστά γε ἀνεχομένου τῶν ἀνθρώ-
πων (ὡς οἰκείου ἔργου) μὴ διὰ παντὸς προνοεῖν. ἐπέτρεψε μὲν
γὰρ ἀνθρώποις τῆς ἀρετῆς καὶ τῆς καλοκαγαθίας ἐλευθέριον
ἔχειν τὴν αἵρεσιν. ὑπερείδει μέντοι τὸ πρὸς τὰ πάθη σαθρὸν
25 ἡμῶν δι' ὧν ἐναργῶς ἔστιν ὅτε νο[υ]θετεῖ καὶ ἐπιπλήττει, οὔτε
διηνεκῶς ἐπάγων τὰ αὐστηρότερα, ἵνα μὴ τῇ ἀνάγκῃ τῆς κατη-
φείας τὸ ἐλευθέριον ἐκβάλῃ, οὔτε ἄφετον πάντη τὴν ὁρμὴν
τῆς ῥᾳστώνης ἡμῖν καταλιμπάνων, ἵνα μὴ τὰς προλήψεις τῶν
παθῶν ἀνιάτους ἀφίῃ· ἑκάτερα δὲ ἀρρήτῳ σοφίᾳ πρὸς ἀνθρώ-
30 πων ὠφέλειαν οἰκονομεῖ, ἑκάστου τὸν δέοντα καιρὸν ἐπιστάμενος.
25. αὐτίκα ἴδοις ἂν σεισμὸν ἢ ὄμβρων ἔνδειαν ἢ ἀκρίδων ἐπι-
φοράν, καὶ ἅμα σχεδὸν ἅπαντας ἀνθρώπους πρὸς εὐλάβειαν
ἐπικλινομένους καὶ πρὸς ἱκεσίαν τοῦ μεταγαγεῖν τὰ τοιαῦτα δυ-
ναμένου. εἰ δὲ τὰ μὲν δοκοῦντα συνήθως ἡδέα καὶ χρηστὰ
35 τὸν ἀνθρώπινον λογισμὸν ὑπτιοῖ, τὰ δὲ ἀνιαρὰ διεγείρει καὶ
συστρέφει πρὸς εὐσεβεστέραν κατάστασιν, πῶς οὐκ ἄν τις ἐκεῖνα
μὲν ὑπὲρ σωμάτων, ταῦτα δὲ ὑπὲρ ψυχῶν φαίη πρὸς θεοῦ διοι-
κεῖσθαι; ἆρ' οὖν τὰ διεγείροντα ψυχὰς εἰς εὐσέβειάν τε καὶ
ἀρετὴν κλητέον κακά; κἂν γὰρ τῇ αἰσθήσει τῶν ὑποκειμένων

ἀνιαρὰ τυγχάνῃ, πρὸς μέντοι σωτηρίαν ἀνθρώπων ἀναγκαίως ἐπάγεται. **26.** ὁ μέντοι πρὸς ἀλήθειαν [μανεὶς] Μάνης πάντῃ ἑαυτῷ μαχόμενος ἀγνοεῖ. εἰ γὰρ ἐπιβλαβὴς τῆς ὕλης ἡ αὔξησις, τίς οὐκ ἂν αἴσθοιτο ὡς τοὐναντίον ἢ λέγει συμβαίνει; αὐξηθήσεται μὲν γὰρ αὕτη κατὰ ἀνθρώπων ἀδιαλείπτως εὐθη- 5 νουμένων καὶ τρυφαῖς ἐσχολακότων, γαστρὶ καὶ τοῖς μετὰ γαστέρα δουλευόντων — μειωθήσεται δὲ εἰς τὰ μάλιστα διὰ λιμῶν καὶ λοιμῶν καὶ θανάτων, πρό[σ]οδον ταύτῃ μὴ ἐπιτρεπόντων πρὸς ἀδικίαν αὐξήσεως· ὥστε καὶ εἰκὸς ἦν αὐτὸν ἀγαθὰ ταῦτα καλεῖν κατὰ τὴν ὑπόθεσιν τὴν ἑαυτοῦ μᾶλλον ἢ κακά. οὕτω δ' ἂν 10 ἔδοξε βελτίονος ἐφικέσθαι λόγου, εἰ μὴ πάλιν τὰ ἡδέα πρὸς ἄλλας ἐναντίας ἀρχὰς τῷ λόγῳ φέρων αὖθις κακὰ προσηγόρευσεν. ἀγαθὰ γὰρ ἀμφότερα, λόγῳ πρὸς ἀγαθοῦ θεοῦ ἐπαγόμενα. ὁ δὲ χαίρων τῇ ἁμαρτίᾳ πρὸς σύστασιν τῆς ὑφεστώσης (ὡς οἴεται) κακίας λυπεῖται πρὸς τὰς ἐνεργεῖς τοῦ θεοῦ νουθετήσεις, δι' 15 ὧν ἄνθρωποι βελτιούμενοι πολλάκις, ἔνιοι δὲ τελείως πρὸς τὸ κρεῖττον μεταβαλλόμενοι, ἀσύστατόν γε αὐτοῦ τὸ δόγμα τῆς πλάνης ἀποφαίνουσι. **27.** πρὸς δὲ τούτοις ἅπασι, τῶν συνήθως ὑπὸ θεοῦ δωρουμένων κοινῇ πᾶσιν ἀνθρώποις [εἰ] μηδεμία ἔστιν ὅτε συνέβαινε κώλυσις, φορᾷ φύσεως ἄν τινος ἀμεταβλή- 20 του τὴν χορηγίαν αὐτῶν ἀνέθεσαν ἄνθρωποι καὶ οὐκ ἂν μὲν δεχόμενοι ταῦτα χάριν ὡμολόγησαν τῷ διδόντι, οὐκ ἂν δὲ ᾔτησαν μὴ ἔχοντες. στέρονται τοιγαροῦν ἐνίοτε πρὸς ὀλίγον ἵνα αἰτήσωσι, καὶ δέχονται αὖθις ἵνα χάριν ὁμολογήσωσι τῷ χορηγοῦντι, γινώσκοντες ὡς αὐτός γε ἐστὶν ὁ παρέχων καὶ οὐ φύσις 25 ἄλλη τις παρὰ τὸν θεὸν ἄκριτός τε καὶ ἀμετάβλητος ἡ χορηγοῦσα. βούλεται δὲ θεὸς εἰδέναι χάριν ἀνθρώπους αὐτῷ, ἵνα ἀξιώτεροι τοῦ λαμβάνειν τὰ παρ' αὐτοῦ γένωνται, οὐχ ἵνα τι καρπώσηται εἰς ἑαυτόν. βούλεται δὲ ἀγαθὰ τούτους αἰτεῖν, ἵνα δεχόμενοι αἴσθησιν τοῦ χορηγοῦντος ἔχωσι. χαίρει μὲν γὰρ τὰ παρ' ἑαυτοῦ διδούς, 30 χαίρει δὲ μᾶλλον ἀξίοις διδούς, ὡς τῆς φιλανθρωπίας τρόπον τινὰ ἀτιμαζομένης, εἰ μὴ πρὸς εὐαισθήτους γίγνοιτο, εὐλόγου δὲ λίαν ἀποφαινομένης, εἰ πρὸς τὸ δέχεσθαι τὸν χορηγοῦντα ὑπὲρ πάντα ἔχοιεν οἱ δεχόμενοι. **28.** κἂν πόλεις δὲ καταπίπτωσιν, ἐπιφυομένης ἀσεβείας (οἷα δὴ καὶ πρώην ἐπὶ τοῦ λίαν ἀσεβήσαντος 35 καὶ τῶν εἰδώλων τὴν πλάνην ἀναμνήσαντος), φθείρεται ἡ ἁμαρτία καὶ μειοῦται ἡ κατὰ θεοῦ πλάνη· θανάτου δὲ κατὰ φύσιν πλέον οὐδὲν γίγνεται καὶ ἥκιστα κακὸν τὸ τῆς θείας ἐπιστρεφείας. τοὐναντίον μὲν οὖν ὡς ἐν φαρμάκου εἴδει ἀγαθόν, κακὸν δὲ

μόνον τὸ τὴν συμφέρουσαν οἰκονομίαν κακίζειν. ὁ γὰρ παιδοποιίαν διαβάλλων ὡς αὐξητικὴν τῆς ὕλης, οὗτος θάνατον ἀθρόον κακίζων νοῦν γε ἀνθρώπινον ἄρ' ἔχειν ἂν δοκοίη, μαχόμενα λίαν ἑαυτῷ φανταζόμενος; ἀλλ' οὔτε παιδοποιία κακή, τὸ ἀεί-
5 ζωον τῷ θνητῷ γένει ποιοῦσα καὶ προστιθεῖσα τῇ δημιουργίᾳ τοὺς γιγνομένους· οὔτε θάνατος (κἂν πολὺς ἀθρόως ἐπενεχθείη) πονηρός, οὐκ ἐπὶ ζημίᾳ κατὰ ἀνθρώπων ὑπὸ θεοῦ κείμενος, ἀλλ' ἐπ' ὠφελείᾳ τῇ ἀνωτάτῳ δικαίοις τε καὶ ἀδίκοις ὡρισμένος. τὸ δὲ κατὰ μέρος ἑκάστῳ συμβαῖνον φυσικῶς, τοῦτο
10 πολλοῖς ἀθρόως εἰ ἐπέλθοι, κατὰ φύσιν μὲν ἔπεισι καὶ πλέον οὐδέν, τοσούτῳ δὲ τοῦ κατὰ μέρος μείζονα τοῦ οἰκονομοῦντος τὴν κηδεμονίαν σημαίνει, ὅσῳ τὸ μὲν οὐδὲν τεκμήριον κατακρίσεως τῶν ἁμαρτανόντων ἔχει, τὸ δὲ τῇ κατὰ τὸ φαινόμενον ἀγανακτήσει τοὺς μὲν τελευτῶντας τὸν εἰρημένον πάλαι τρόπον
15 εὐεργετεῖ, τοὺς δὲ ζῶντας ἐπιστρέφει. **29.** εἰ δέ τις πολλῶν πολλάκις τοιούτων γιγνομένων δείκνυσι τὸν ἀνθρώπινον βίον τοῖς αὐτοῖς ἐμπλεκόμενον ἀδικήμασι, παραπλήσιον ἐμοί γε δοκεῖ πάσχειν ὁ τοιοῦτος, [ὡς] εἴ τις ἐν λίμναις καὶ θαλάττῃ τοὺς ἰχθύας ὁρῶν οἴοιτο τὴν ἁλιευτικὴν τέχνην ἀργεῖν, τοὺς θηρωμένους
20 οὐχ ὁρῶν, τοὺς δὲ νηχομένους ἐν τοῖς ὕδασι βλέπων· ἢ ὥσπερ εἴ τις πολλοὺς κάμνοντας ὁρῶν μηδὲν τὴν ἰατρικὴν ἐνέργειαν οἰηθείη. πολλῶν γὰρ εὐεργετουμένων εἰς εὐσέβειάν τε καὶ ἀρετήν, δι' ὧν ἔστιν ὅτε τὰ φοβερὰ θεὸς οἰκονομεῖ, ὁ φιλαίτιος τὸ μὲν κατορθούμενον ἀρνεῖται, τὸ δὲ φιλόνεικον τῶν πολλῶν εἰς
25 ἁμαρτίαν ὀνειδίζει. καίτοι φαμὲν οὐδ' ἡμεῖς ἀναγκαστικὰ τοῖς πολλοῖς εἶναι τὰ τοιαῦτα, ἀλλ' ἀποτρεπτικὰ τοῦ ἁμαρτάνειν τοῖς εὐγνωμονοῦσιν. αὐτίκα πρὸς ὀλίγον ἐπαγόμενα ταχέως ἀποπαύεται, ἵνα μὴ βιάσηται μᾶλλον ἢ πειθοῖ μεταβάλῃ· αὖθις δὲ τὰ συνήθη πολιτεύεται, τὸ δόκιμον τῆς προθέσεως τοῖς μετα-
30 βαλλομένοις ἐμποιοῦντα, ἵνα καὶ μόνην τῶν ὑποδειγμάτων τὴν μνήμην ἀντ' ἐρείσματος ἔχοιεν τῆς ἑαυτῶν ἀσθενείας οἱ εὐγνώμονες. ῥητέον δὲ μᾶλλον ὡς εἰ καὶ τῶν τοιούτων συμβαινόντων ὀλίγοι τινὲς καὶ εὐαρίθμητοι τυγχάνουσιν οἱ διαμειβόμενοι, πῶς οὐκ ἂν ἐπέδωκεν ἐπὶ πλεῖστον πονηρίας τῶν ἀνθρώπων ὁ λο-
35 γισμός, εἴπερ ἡ διὰ τῶν τοιούτων ἀποτροπὴ μὴ ἐπίοι; εἰ δὲ καὶ μηδεὶς ἐντεῦθεν ὠφελοῖτο (ὅπερ ἠλίθιον εἰπεῖν), βέλτιον ἀνθρώπους ἐλέγχεσθαι ὡς μηδὲ τοῦτον τὸν τρόπον ἐνδιδόντας ἢ θεὸν ἀμελείας ἂν αἰτίαν ὑπέχειν ὡς μηκέτι ἐπιστρεφείᾳ χρώμενον· ᾧ χρηστέον λόγῳ κατὰ τῶν μὴ ἐπαισθανομένων. δῆλον

γὰρ τοῖς εὐγνώμοσιν ὡς οὐ μόνον πρὸς τὸ τέλειον ἐνίους τῆς πρὸς τὸ κρεῖττον μεταβολῆς ὁ φόβος ἄγει, ἀλλὰ καὶ τοῖς ἄλλοις ἀπορρήτως μειοῖ τὴν πρὸς ἀδικίαν ὁρμὴν καὶ τόλμαν. **30.** ἔλθωμεν δὴ λοιπὸν καὶ εἰς τὸν περὶ δημιουργίας λόγον, πρὸς τοῦ ἀπατεῶνος συκοφαντουμένης, καὶ πρῶτόν γε περὶ σκό- 5 τους καὶ νυκτὸς ἐξετάσωμεν, ὅπερ μάλιστα καχίζει, τὴν διάνοιαν ἐσκοτωμένος· σκότος γὰρ ἐν νυκτὶ φαινόμενον ἐκείνου τοῦ σκότους, ὃ Μάνης εἶναι φαντάζεται ὡς ὄν, τεκμήριον τοῦ μὴ ὄντος λαμβάνει, μηδὲν παντελῶς μήτε βλέπων μήτε νοῶν, ἀλλὰ τυφλοῦ δίκην τοῖς πράγμασι προσπταίων. καὶ καλεῖ σκότος καὶ 10 οἱονεὶ φρίττει ὡς μηδὲ λόγου δεόμενος πρὸς ἀπόδειξιν τῆς ἑαυτοῦ ψευδολογίας, ὡς αὐτόθεν διαβεβοημένου πράγματος τὸ ὄνομα λαμβάνων. **31.** ῥητέον τοίνυν ὡς τοῦτο δὴ τὸ σκότος καλεῖται μέν, οὐ μὴν ὑφέστηκε κατ' οὐσίαν, ἐπισυμβαίνει δὲ καθ' ἡμέραν καὶ ἀποσυμβαίνει, παρακολούθημα καὶ σκιᾶς τρόπον ὑπάρχον. 15 δεδημιούργηται μὲν γὰρ εἰς ὑπόστασιν οὐσίας οὐδαμῶς, κόσμου δὲ δημιουργηθέντος σκιὰ τυγχάνει. ἄνθρωπος τίκτεται μὲν γὰρ καθ' ἑαυτόν, παρακολουθεῖ δὲ αὐτῷ πρὸς τὸν ὄγκον τοῦ σώματος ἡ σκιά, καὶ οὐ δήπου συγκατεσκευάσθαι δόξειεν ἐν ἑαυτῷ, ἀλλ' ἐπισυμβαίνει πρὸς τὴν τοῦ σώματος θέσιν καὶ πρὸς τὴν 20 τοῦ φωτὸς περίοδον. οὕτω δὴ καὶ νὺξ καὶ σκότος (σωματικοῦ τοῦ κόσμου δηλαδὴ τυγχάνοντος) παρακολούθημα μόνον ἐστίν, οὐ μὴν δημιουργήματος τρόπον οὐσιῶδες κατεσκεύασται. τοῦ γὰρ ἡλίου τὸν μεθημερινὸν δρόμον περαίνοντος, πρὸς δὲ τὰς ἰδίας ἀναχωρήσεις τρεπομένου, τοῦ κόσμου τὰ ἐντὸς ἐπάναγκες 25 ἅπαντα σκιάζεσθαι, ἔξω τυγχάνοντος τοῦ φωτίζοντος, οὕτω δὴ θεοῦ βουληθέντος δι' ἃς αἰτίας μικρὸν ὕστερον ὡς δύναμις ἐροῦμεν. αὐτίκα καὶ μεθ' ἡμέραν πρὸς τὸ ἀντικείμενον μέρος τῆς τοῦ φωτὸς θέσεως τὰ ἀνέχοντα τῶν σωματικῶν ὄγκων παραπέμπει τὰς σκιὰς καὶ συμμεταβαίνει τῷ φωτὶ πρὸς τοὐναντίον 30 ἡ σκιά. καὶ οὗ μὲν ἕως μεσημβρίας ἥλιος, μετὰ μεσημβρίαν σκιά· οὗ δὲ σκιὰ μετὰ μεσημβρίαν, ἥλιος μετὰ ταύτην γίνεται. σκιὰ δὲ ἡ σκιὰ μεθ' ἡμέραν καὶ οὐ παντελῶς σκότος, ἐπειδὴ τὸ περιέχον πανταχόθεν ἀνεωγὸς καὶ τοῖς σκιαζομένοις τόποις τοῦ φέγγους παρέχει τὴν μετουσίαν. εἰ γοῦν οἶκόν τινα τελείως 35 ἀποκλείσαις ὡς μηδὲ στενὴν γοῦν εἴσοδον καταλιπεῖν τῷ φωτὶ αὐτῷ, νύκτα ποιήσεις καὶ ἐν μεσημβρίᾳ. τοῦτο δὴ καὶ ἐν νυκτὶ γίνεται, πρὸς τοὺς ἰδίους χώρους ἡλίου γενομένου· ὥστε ἡ νὺξ στέρησις ἂν εἴη φωτός. μάθοι δ' ἄν τις σαφέστερον τὸ γινό-

μενον, εἰ νοήσειεν ὡς ἐν νυκτὶ μὲν ἐστί που διαμένων καὶ ὑπάρχων ὁ ἥλιος, μεθ' ἡμέραν δὲ οὐδαμοῦ τὸ σκότος, ἀλλὰ παντελῶς διαλυόμενον ἀφανίζεται· ὥστε φωτὸς μὲν γέγονεν οὐσία, σκότους δὲ οὐδαμῶς. **32.** σκοπητέον δ' ὅμως. νυκτὸς
5 ὅσον τὸ ἀναγκαῖον. ἔστιν ἀνάπαυλα πρῶτον κοινῇ τοῖς πᾶσιν. ὁ γὰρ μεθ' ἡμέραν ὕπνος τὸ ἀναγκαῖον τῆς νυκτὸς μᾶλλον παραδείκνυσιν, ἧς γε τοσοῦτος ὑπάρχων ὁ χρόνος οὐχ ἱκανὸς διαναπαῦσαι τὰς αἰσθήσεις ἀνθρώποις. καὶ τοῦ μὲν μεθ' ἡμέραν ὕπνου οὐκ ἴση τοῖς πᾶσι μετοχή. τὸ δὲ ἐν νυκτὶ κοινὸν καὶ
10 ἐπ' ἴσης τοῖς πᾶσι τῆς διαναπαύσεως τὸ μέτρον, οὐκ ἔχον ἀνωμαλίαν πρὸς τὰ βιωτικὰ πλεονεκτήματα· ὅπερ οὐκ ἔλαττον τὴν ἰσότητα τοῦ δημιουργοῦ ὡς πρὸς ἓν γένος τὸ τῶν ἀνθρώπων μαρτύρεται. **33.** ἔπειτα εἰ διὰ παντὸς ὑπῆρχεν ἡμέρα ἀδιάδεκτον ἔχουσα τὸ διάστημα, οὐκ ἂν ἐμετρήθη χρόνος, εἰς μέρη μὴ
15 τετμημένος, ἡ δὲ καθ' ἡμέραν τοῦ χρόνου τομὴ διὰ τῶν μορίων τούτων καταριθμεῖσθαι ποιεῖ, χωρὶς δὲ χρόνου διαγνώσεως ἄλογος ἂν ἐν τοῖς πλείοσι γέγονεν ἀνθρώποις ὁ βίος. τὸ δὲ δὴ μεῖζον οὐκ ἂν φωτὸς γέγονεν ἀπόλαυσις, σκότους μὴ παρακειμένου τὸν εἰρημένον τρόπον νυκτερινοῦ. φῶς γὰρ σωματικὸν
20 ἀδιάλειπτον οὐδ' ὅτι φῶς ἐστιν ἐγνώσθη ἄν. πρὸς γὰρ ἀντιδιαστολὴν σκότους φῶς ὠνόμασται καὶ ἔστιν. οὐκ ἂν οὖν θαυμαστόν τι ἦν ὡς ἐστι δημιούργημα φανέν, εἰ μήγε ἡ θέσις τοῦ δοκοῦντος ἀντικεῖσθαι παρεδείκνυεν αὐτό. ὥστε καὶ τἄλλα μὲν πολλὰ χάριν ὁμολογητέον ἐπὶ τῇ νυκτὶ τῷ πανσόφῳ δημιουργῷ,
25 μάλιστα δ' ὅτι τοῦ φωτὸς ἐμποιεῖ τὴν αἴσθησίν τε καὶ τὴν ἀπόλαυσιν, οὐκ ἂν ἄλλως διαγνωσθέντος ὅτιπερ ἔστιν. **34.** ἀλλ' ἐκπλαγείη τις ἂν τὴν ἄρρητον τοῦ θεοῦ σοφίαν, ὅτι τοσούτων καὶ ἔτι πλεόνων ἀναγκαίων τε καὶ χρησίμων διὰ σκότους ἀνθρώποις ὑπαρχόντων, ὅμως δέ, ἐπειδὴ σκότους ἦν ὄνομά τε καὶ
30 πρᾶγμα, οὐ κατεσκεύακεν αὐτὸ κατ' οὐσίαν, ἀλλὰ συμβαίνειν καὶ ἀποσυμβαίνειν αὐτὸ πεποίηκεν, ἵνα καὶ ὡς ὂν τά τε ῥηθέντα καὶ ἔτι πλείω παρέχῃ καὶ ὡς μὴ ὂν ἥκιστα διαβάλῃ τὸν δημιουργόν. ἄμεμπτος τοιγαροῦν ἡ νύξ, ἀλλὰ καὶ θαυμασία παντοίως τῇ χρήσει. **35.** φασὶ δὲ λῃστὴν ἐν νυκτὶ κακουργεῖν καὶ
35 τί δὴ πρὸς τὴν νύκτα; εἰ γὰρ μὴ ἐνεδέχετο καὶ ἐν ἡμέρᾳ κακοπραγεῖν τοὺς βουλομένους, ἐχρῆν τῆς νυκτὸς διαβάλλεσθαι τὸν καιρόν· ἐπεὶ δὲ τὴν εὐκαιρίαν τῆς κακουργίας ὁ δρῶν ἀναμένει, κἂν ἐν ἡμέρᾳ κἂν ἐν νυκτὶ παραπέσοι, τὴν πρόθεσιν τοῦ δρῶντος, οὐ τὸν καιρὸν αἰτιατέον· πλὴν εἰ νυκτί γε ἐπείθετο,

κακοῦργος ἅπας ἐκάθευδεν ἄν· τοῦτο γὰρ καὶ μόνον παρεγγυᾷ. **36.** θεωρητέον δὴ ἐπὶ τούτοις ὡς ἀναλόγως ἀλλήλοις ἀντικεῖσθαι δοκεῖ φῶς τε καὶ σκότος, ἀλήθειά τε καὶ ψεῦδος. ὅπερ γὰρ φῶς σώματι, τοῦτο ἀλήθεια ψυχῇ, καὶ ὅπερ σκότος ὀφθαλμοῖς, τοῦτο ἄγνοια καὶ ψεῦδος διανοίᾳ. ἄνθρωπος μὲν γὰρ οὐδὲν 5 ἕτερον ἢ ψυχή τε καὶ σῶμα, παρὰ δὲ θεοῦ πρὸς ἑκάτερον τὴν χορηγίαν ἔχων, διὰ μὲν σώματος σωματικοῦ φωτὸς ἀπολαύει, διὰ δὲ ψυχῆς νοητῆς ἀληθείας· ὥσπερ δὲ σκότος κατ' οὐσίαν μὲν οὐχ ὑπάρχει, ἐπιέναι δὲ συγκεχώρηται μόνον, ὡς ἀποδέδεικται, τὸν αὐτὸν τρόπον καὶ ψεῦδος ἀπὸ τινὸς μὲν οὐσίας ὑφεστηκυίας, 10 ἣν ἐκεῖνος ἀρχὴν ἀγένητον καλεῖ, οὐ φέρεται οὐδὲ οὐσία τις ἐστὶν ὑφεστηκυῖά τε καὶ ζῶσα, ἐπινοίᾳ δὲ μόνον εἶναι συγκεχώρηται, συμβαίνειν τε καὶ ἀποσυμβαίνειν παραπλησίως τῷ σκότει, καὶ τοῦτο λίαν χρησίμως τε καὶ ἀναγκαίως. εἰ γὰρ μὴ ἐπετέτραπτο ψεύδους ἐπίνοια, ἀδόκιμος ἂν ἦν καὶ ἀβασάνιστος 15 κατ' ἀνθρώπους τῆς ἀληθείας ἡ αἵρεσις, μάτην δ' ἂν καὶ ὠνομάζετο, εἰ μὴ τὸ ψεῦδος συγκεχώρητο τῇ ἐπινοίᾳ. οὐδεὶς γὰρ ἂν ἦν φιλαλήθης, εἰ μὴ καὶ τοῦ ψεύδεσθαι τὴν ἐπίνοιαν εἶχεν ἐφ' ἑαυτῷ. οὔ φημι ὅτι προσκεχαρισμένον ἂν εἴη τῇ ἀληθείᾳ τὸ ψεῦδος, ἀλλ' ὅτι τῆς ἀληθείας ἡ αἵρεσις οὐκ ἄν γε εἶναι 20 ἐδόκει, εἰ μὴ παρέκειτο τοῦ ψεύδεσθαι ἡ ἐξουσία· ὃ δὴ ὑπὲρ τῶν φιλαλήθων, οὐχ ὑπὲρ τῆς ἀληθείας ἐστί. δεῖ γὰρ τὸν ἀληθεύοντα ἔχειν ἐφ' ἑαυτῷ καὶ τὸ ψεύδεσθαι αὐτῷ ἐξεῖναι, οὗ ἀπεχόμενος ἀληθεύει. προσάγει τοίνυν ἀνθρώποις τῆς ἀληθείας τὴν προτίμησιν τὸ ἐξεῖναι ψεύδεσθαι, ὥσπερ φωτὸς ἀνακινεῖ 25 τὴν αἴσθησιν ἡ θέσις τοῦ σκότους. ὥσπερ μέντοι τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει (διαλύει γὰρ αὐτὸ ἐπιόν, ἅτε δὴ μὴ κατ' οὐσίαν ὑπάρχον), οὕτως καὶ ἡ ἀλήθεια κατὰ τοῦ ψεύδους κρατιστεύουσα διελέγχει παντελῶς αὐτὸ μὴ ὄν, ἐπινοίᾳ τῇ ἐξουσίᾳ τοῦ λογισμοῦ παρεισιὸν εἰς αἵρεσιν ἑαυτῆς. πῶς γὰρ ἄν τις 30 ἀλήθειαν ἕλοιτο, εἰ μὴ καὶ τοῦ ἀντικειμένου τὴν αἵρεσιν ἔχοι ἐφ' ἑαυτῷ. **37.** εἰ μὲν οὖν δεῖξαι δυνατὸν ὡς κατ' οὐσίαν ὑπάρχει τὸ σκότος, οὐχὶ δὲ συμβαίνει καὶ ἀποσυμβαίνει μόνον ὡς εἴρηται, τεθείη ἂν καὶ ψευδὴς οὐσία· εἰ δὲ μήτ' ἐκεῖνος μήτε ἄλλος δεῖξαι δύναται ὡς τοῦτο δὴ τὸ σκότος οὐχὶ διάλυτόν 35 ἐστι σκιᾶς τρόπον γιγνόμενον, ὡς τὸ μὲν φῶς ὑπάρχειν καὶ ἐν νυκτί, τὸ δὲ σκότος ἐν ἡμέρᾳ μὴ εἶναι, τὸ ἀναλόγως ἔχον αὐτῷ ψεῦδος δῆλον ὡς οὐδ' αὐτὸ ὑφέστηκεν οὐσίας τρόπον τινά, ἀναγκαίως δὲ μόνον κατ' ἐπίνοιαν ἐπιγίγνεσθαι συγκεχώρηται

πρὸς αἵρεσιν τῆς ἀληθείας. ἐπειδὴ δὲ τὸ φῶς κατ' οὐσίαν ὑφέστηκε, σαφῶς ἄρα καὶ ἀλήθειαν νομίσειεν ἄν τις κατ' οὐσίαν ὑφεστάναι, ἵνα τῆς ἀναλογίας σώζηται ἡ ἀκρίβεια. καὶ τί δὴ τὸ κωλῦον θεὸν αὐτοαλήθειαν εἶναι ἡγεῖσθαί τε καὶ νομίζειν;
5 εἰ γὰρ φῶς ὁ θεός (φῶς δὲ νοητόν, οὐ γὰρ δὴ ὁρατόν), φῶς δῆλον ὡς ἀλήθεια. φῶς γὰρ νοερὸν οὐδὲν ἄλλο πλὴν ἀληθείας, ὅμως δὲ φῶς τε καὶ αὐτοαλήθεια τυγχάνων ὁ θεὸς οὐκ ἀδυναμίᾳ ψεύδους ἀπέχεται, ἀλλὰ μὴ βουλόμενος ψεύσασθαί ποτε. εἰ δέ γε μὴ δύναται (οὐ γὰρ ἄτοπον εἰπεῖν), ἐπειδή γε οὐδέποτε
10 οὐχὶ μὴ βούλεται. οἷς μὲν γὰρ καὶ τὸ βούλεσθαι καὶ τὸ μὴ κατὰ διάφορον τρόπον ἐπισυμβαίνει, τούτοις εὐλόγως καὶ τὸ δύνασθαι ἀφώρισται. θεῷ δέ γε ἐπειδὴ οὐδέποτε συμβαίνει τὸ βούλεσθαι, τὸ μὴ δύνασθαι προσαπτέον, οὕτω μέντοι διὰ τὸ μηδέποτε βούλεσθαι, οὐχὶ διὰ τὸ μὴ δύνασθαι τρόπον ἀσθενείας καὶ
15 ἀδυναμίας. τὸ μὲν γὰρ δημιούργημα πεπεδῆσθαι φύσει (λέγω δὴ τὸ σωματικὸν φῶς) οὐκ ἄλογον φάναι, ὡς μὴ ἐπ' αὐτῷ εἶναι τὸ εἶναι φῶς, ἀλλ' ἐπὶ τῷ ποιήσαντι, τὸν δὲ δημιουργὸν ὑποβεβλῆσθαι φύσεως ἀνάγκῃ λίαν ἄτοπον ἡγεῖσθαι, ὡς μὴ ἐπ' αὐτῷ εἶναι δοκεῖν τὸ ἀληθεύειν, ἀλλὰ πρὸς τῆς φύσεως βεβιά-
20 σθαι, καίτοιγε ὅπερ ἐστὶν αὐτὸ μόνον ἐστίν, ἀλλ' οἷς μὲν ἐδημιούργησε[ν] ἐντέθεικε τὸ φύσει καὶ ἀνάγκῃ εἶναι ὅ εἰσιν, αὐτῷ μέντοι ἐντέθεικεν οὐδεὶς τὸ ἀνάγκῃ εἶναι ἀλήθειαν. οὐκοῦν φύσεως μὲν ἐπάνω ὁ φύσεις κατασκευάσας, αὐτὸς δὲ φύσεως ἀνάγκης ἐλεύθερος. οὕτω γὰρ ἀληθῶς ἀγαθὸς ὁμολογηθήσεται.
25 οὐκοῦν διὰ τῶν εἰρημένων αὐτόψευδος οὐκ ἔστι, ψεύστης δὲ ὁ ψευδόμενος. ἀπὸ γὰρ τοῦ μετιόντος καλεῖται, οὐχ ὁ μετερχόμενος ἀπὸ τοῦ μὴ ὄντος. ψεῦδος γὰρ πρὸ τοῦ ἐπινοοῦντος αὐτὸ οὐκ ἂν εἴη, παραπλησίως δὲ καὶ σκότος οὐ δεδημιούργηται μέν, παρεισέρχεται δέ, σκιὰ τοῦδε τοῦ παντὸς ὑπάρχον, πλὴν ὅσον
30 τὸ μὲν σκότος οὐ μόνον ὑποτρέχειν συγκεχώρηται, ἀλλὰ καὶ λίαν ὠφελίμως, τοῦ δὲ ψεύδους ἡ ἐπίνοια τὴν μὲν αἵρεσιν διασαφεῖ τῆς ἀληθείας παρὰ ἀνθρώποις, προτιμηθεῖσα δὲ τῆς ἀληθείας βλαβερωτάτη γε ἐστί. καὶ μάλα γε εἰκότως. ψεῦδος γὰρ πρὸς ἀνθρώπων ἐπινοεῖται, σκότος δὲ τὸ σωματικὸν παρὰ
35 θεοῦ κεῖται· δι' ὃ χρὴ τὸ μὲν νοοῦντα φεύγειν, τὸ δὲ μὴ λοιδορεῖσθαι, ἀναγκαίως πρὸς τοῦ δημιουργοῦ κείμενον. **38.** λοιδορεῖται μὲν οὐ τοῦτο μόνον ὁ τῆς κενωτάτης κατὰ θεοῦ βλασφημίας εὑρετής, ἀλλὰ καὶ ζῴοις τοῖς ἀγρίαν φύσιν παρὰ τοῦ δημιουργοῦ λαχοῦσι, σαφῶς δίκην ἐχθροῦ τὰ πάντα φιλαιτίου

κατὰ τῶν δημιουργημάτων κινούμενος, ἐλέγξει δὲ ὁ λόγος τοῦ ἀπατεῶνος τὴν ἄλογον καὶ ἐν τούτοις βλασφημίαν. θηρία γὰρ ἅπαντα τετράποδά τε καὶ ἑρπετὰ κακίζων παραπλήσιόν τι πάσχειν μοι δοκεῖ, ὥσπερ ἂν εἴ τις φιλαμαρτήμων δοῦλος καὶ λίαν πονηρὸς τὰ μὲν ἄλλα τοῦ δεσπότου αὐτοῦ ἀκαταιτίατα ἀποδέχοιτο, μισοίη δὲ καὶ διαβάλλοι μάστιγά που καὶ μόνον φαινομένην, αὐτῷ γε τῷ μισεῖν ὁ τοιοῦτος δεικνὺς ὡς ἀναγκαῖον τὸ παρακείμενον. ἄνθρωποι γὰρ πρὸς τὴν κατὰ θεοῦ λήθην πρόχειροι τυγχάνοντες, εἰ μηδὲν ἄξιον δέους φαινόμενον εἶχον ἐν δημιουργίᾳ, πλέον μὲν ἂν ἐχωρίσθησαν προθέσει τοῦ θεοῦ, ᾐτιάθησαν δὲ οὐκ εὐλόγως, ἅτε δὴ διὰ μηδενὸς τῶν φαινομένων διεγειρόμενοι. εἰ γὰρ δὴ καὶ πρόσεστιν ἡμῖν φύσει τὸ ἐλευθέριον πρὸς αἵρεσιν τοῦ κρείττονος, ἀλλά γε διὰ ῥᾳστώνης ῥᾳδίως εἰς λήθην ἐμπίπτομεν. πολλὰ τοίνυν ἐστὶν ἀναγκαίως τὰ διεγείροντα τῷ δέει πρὸς τὸν θεὸν τὸν ἡμέτερον λογισμόν, ὥσπερ αὖθις πάμπολλα τὰ κινοῦντα τοῦτον διὰ χρηστότητος καὶ ἀπολαύσεως ἀγαθῶν εἰς χάριτος ὁμολογίαν τοῦ δημιουργοῦ. ἑκατέροις γὰρ ἀποπαιδαγωγούμεθα, οἷς τε ὡς ἡδέων ἀπολαύοιμεν καὶ οἷς ὡς διὰ φοβερῶν ἐπιστρεφόμεθα. **39.** φοβερὸν τοίνυν τὸ ἄγριον κατὰ φύσιν, οὐ πονηρόν. πονηρία γὰρ καὶ κακία λογισμοῦ πάθος, ὁρμὴ δὲ φυσικὴ οὕτω κατεσκευασμένη πάσης αἰτίας ἀπήλλακται. θεὸς δὲ φειδόμενος ἀνθρώπων πεποίηκεν ἵνα τῷ δέει τῶν ἀλόγων τὸ λογικὸν τῆς καλοκαγαθίας μεταδιώξωμεν. καὶ κακὸν ἐν τούτοις οὐδέν. ὃ γὰρ μὴ οἶδεν ὅ,τι ἐστίν, πῶς κακόν ἐστιν; ὡς οὐχ ἧττον καὶ οὕτως τῷ μανέντι καὶ ὁ περὶ τῆς κακίας αὐτῆς (ἣν πλασάμενος ἀρχὴν ἀγένητον καλεῖ) λόγος διελέγχεται. λογισμὸν μὲν γὰρ αὐτῇ καὶ γνῶσιν κακίας οὐ δίδωσιν, ἵνα μὴ καὶ τἀγαθοῦ τὴν αἴσθησιν ἔχουσά γε εὑρεθῇ. οὕτω γὰρ ἀποδειχθείη μὴ οὖσα κακία. γνῶσις γὰρ ἀγαθοῦ μαρτυρία φύσεως οὐ κακῆς, ἀλόγιστον δὲ καὶ γνώσεως ἔρημον αὐτὴν ὁριζόμενος τοῦ ὅπερ ἐστὶ καὶ αὐτὴ τὴν γνῶσιν αὐτὴν ἀφαιρεῖται. εἰ γὰρ αἴσθηται καὶ γνῷ κακυνομένη, αἰσθήσεται πάντως τοῦ ἐναντίου ἀγαθυνομένη. φωρᾶται γὰρ λογισμῷ τὸ κακὸν τῇ αἰσθήσει καὶ τῇ παραθέσει τοῦ ἀγαθοῦ, ὡς, εἰ δῆλον ὑπάρχοι τοὐναντίον, κατάδηλον ἔσται. ἔλεγχος γὰρ πᾶν ἐναντίον ἐναντίου, γνώσει μέντοι καὶ κρίσει, ἄνευ δὲ γνώσεως οὐδέτερον θατέρῳ δῆλον. εἰ τοίνυν καὶ ἑαυτὴν ἀγνοεῖ καὶ λογισμῷ μὴ μέτεισι τὸ κακὸν ἡ κακία, οὐκ ἂν εἴη κακία, μάτην δ' ἂν ἐγκαλοῖτο. ὁμολογεῖ δὲ ὅτι ἐστὶ λογισμοῦ κακία ἐλευθε-

ρουμένη. αὐτίκα φρενίτῃ ἐν περιστάσει πυρετῶν ἢ ἄλλου τινὸς συμπτώματος, οὐκ εἰδότι ὃ ποιεῖ, συγγινώσκειν ἅπαντες εἰώθαμεν, μᾶλλον μὲν οὖν καὶ εἰς οἶκτον ἐπικαμπτόμεθα, κακίας ἐλευθεροῦντες τὸν μάτην μὲν τύπτοντα, εἰ δὲ ξίφος εὕροι καὶ φονεύοντα.
5 οὕτω γε πᾶσι κατάδηλον καὶ κρίσις αὕτη κοινή τε καὶ φύσεως ἀκολουθία τὸ μὴ κακὸν ὀνομάζειν τὸ οὐκ εἰδὸς ὅ,τι δρᾷ. εἰ τοίνυν μήτε τὸ γιγνῶσκον ἀγαθὸν κληθείη ἀναγκαῖον, μήτε τὸ ἀγνοοῦν ἑαυτὸ ὅ,τι ἐστὶ δόξειεν ἂν εἶναι κακία, τὸ μέν, ὅτι μηδ' αὐτὸς τίθησι, τὸ δ' ὅτι πεπλανημένως καὶ ἐκτὸς τῆς κοινῆς
10 δόξης θέμενος ὁρίζεται. **40.** οὕτως οὐδὲ θηρίον οὐδὲν κακόν, λογισμοῦ ἐστερημένον, ἄνθρωπος δὲ κακοήθης κακὸς ἂν εἴη, λογισμῷ μετιὼν ἅπερ ἥκιστα ἀγνοεῖ. ἡ γὰρ τοῦ λογισμοῦ τῆς φύσεως προσθήκη φέρει τῆς κακίας τὸ ἔγκλημα, προκατασκευάζουσα δῆλον εἶναι τὸ πραττόμενον. ἡ δὲ τῆς γνώσεως ἀφαίρεσις
15 ἀφαίρεσις τῆς αἰτίας. οὕτω δὴ γνοὺς μὲν ἄνθρωπος ἄμφω, ἀρετήν τε καὶ κακίαν, ὅπερ ἂν ἕληται (φθάνει γὰρ ἡ γνῶσις τὴν αἵρεσιν), ἀπ' ἐκείνου καλεῖται· πρὶν δὲ γνῶναι, νήπιος ὑπάρχων, οὐδέτερον τῶν ἄκρων καλεῖται. δῆλον τοίνυν πανταχόθεν ὡς τῷ λογισμῷ καὶ τῇ μετὰ τὴν γνῶσιν αἱρέσει κακίαν τε καὶ ἀρετὴν λογιζόμεθα.
20 τὰ τοίνυν ἀμέτοχα λογισμοῦ θηρία οὐκ ἂν εἴη κακὰ οὐδὲ ἐκ κακίας προενηνεγμένα, ἐπειδήπερ, κἂν ἐκείνη οὕτως ἔχοι, οὐκ ἂν εἴη κακία. **41.** ἄλλως τε ἴδοις ἂν πολλάκις καὶ τῶν ἑρπετῶν αὐτῶν τὸ χαλεπώτατον, λέγω δὴ τὸν ἰόν, εἰς ἰατρείαν πρὸς τῶν ἀκριβεστάτων ἰατρῶν λαμβανόμενον καὶ τῇ τῶν ἀπομάχεσθαι
25 δυναμένων παραμίξει καθαίροντα τῶν παθῶν ἔστιν ὅτε τὰ χαλεπώτατα, τὰς δὲ σάρκας αὐτὰς ἑτέρων εἰδῶν τε καὶ βοτανῶν συμπλοκῇ φάρμακον ἄριστον σώμασιν ἀποτελούσας, παραπλησίως δὲ καὶ τῶν ἄλλων θηρίων. μέρη γάρ τινα καὶ μέλη καὶ αἷμα καθ' αὐτὸ πολλάκις εὐεργετοῦσι κάμνοντας. πῶς οὖν ἐκ
30 κακίας ἐστὶ τὰ ἐν μέρει καὶ ὠφελοῦντα; ταῦτα τοιγαροῦν ἅπαντα χρήσιμα μόνον δι' ἀνθρώπους ἡγητέον οὔτε δὲ ἀγαθὰ οὔτε κακὰ προσαγορευτέον, δέος μόνον ἀνθρώποις ἀναγκαίως ἐμποιοῦντα πρὸς ἐπιστροφὴν τοῦ κρείττονος, καὶ τὸ ἀργὸν αὐτῶν ἀργίας παρὰ ἀνθρώποις κωλυτικόν. κεῖται γὰρ αὐτὰ μάστιγος
35 δίκην φαινομένης ἐν οἴκῳ πρὸς κατασκευὴν εὐλαβείας τῶν οἰκετῶν, εἴ τις ἀργήσειεν ἢ εἴ τις πλημμελοίη τῶν κατὰ τὴν ἑστίαν. **42.** εἰ δὲ πονηροὺς ἔστιν ἰδεῖν μηδὲν ὑπὸ τούτων βλαπτομένους, θαύμασον τοῦ δεσπότου τὸ ἀνεξίκακον, οὐδὲν δὲ ἧττον νοητέον τὴν παρακειμένην μάστιγα. τοὐναντίον δὲ [εἰ] χρηστοὶ περιπίπτοιεν

τούτοις, ἰστέον ὡς ἀγαθοῦ πλημμελοῦντος φείσαιτ' ἂν πρὸς ἐπιστρέφειαν ὁ δεσπότης, οὐχὶ δὲ τοῦ λίαν ἀπεγνωσμένου. ὁ μὲν γὰρ ἰάσιμα πλημμελεῖ, ὁ δὲ τηρεῖται πρὸς ἀνίατον τιμωρίαν. τοιαῦτα γὰρ ὑποδείγματα πάμπολλα ἴδοιμεν ἂν ἐν ταῖς θείαις γραφαῖς ἱστορούμενα. μέλει τοίνυν πάνυ γε θεῷ ἀνθρώπου· 5 δι' ὃ παντοίως αὐτῷ τὰ ἀνακινοῦντα πρὸς εὐλάβειαν παρατέθεικεν ὡς μηδὲ τὸν ὕπνον αὐτῶν πυκνοτάτης ὀχλήσεως ἀπηλλάχθαι, ἀλλὰ καὶ τοῦτον διὰ κνωδάλων τινῶν ἐμποδιζόμενον κέντρου δίκην νύττειν τὸν λογισμόν. καὶ πολλά γε τὰ βοηθοῦντα τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ, θαυμασίως πρὸς ἀνάμνησιν θεοῦ. δι' ὧν γὰρ 10 πάσχει σωματικῶς, παθῶν ψυχῆς ἐλευθεροῦται καὶ δι' ὧν παθεῖν ἂν δυνηθείη, κἂν μὴ πάθῃ, πρὸς εὐλάβειαν ἐπιστρέφεται. καὶ περιπίπτει σωματικοῖς πάθεσιν ἀναγκαίως ἄνθρωπος, ἵνα τὸ χαλεπώτατον καὶ μόνον ὡς ἀληθῶς πάθος διαφύγῃ, τὴν ἁμαρτίαν. τὸ γὰρ ἀνάλγητον ἀκόλαστον καὶ τὸ ἀτιμώρητα ἁμαρτάνον 15 παντελῶς διαφθείρεται. εἰ γὰρ καὶ τοσούτων παρακειμένων εἰς φόβον, ἀφοβίαν ὡς ἐπὶ τὸ πολὺ νοσοῦσιν ἄνθρωποι, πῶς ἂν συνεῖναι γοῦν ἀλλήλοις ἐδυνήθησαν, εἰ μηδὲν αὐτοῖς κατ' ὀφθαλμοὺς ἐπήρτητο δέος; μαλάττει τοιγαροῦν καὶ νόσος διάνοιαν σκληροτέραν καὶ ναυάγιον πολλάκις συμπεσὸν ἐμπόρων 20 ἐπίορκον τρόπον μετέβαλε, πενία αὖθις κατήνεγκε τὸν ἐπαρθέντα πλούτῳ, παίδων στέρησις ἐσωφρόνισε τὸν διὰ παῖδας πλεονεκτοῦντα. εἰ δὲ μὴ ἐσωφρόνισε, τὸ ὑπόδειγμα τοῖς αἰσθανομένοις παρέσχε. καὶ οἱ μὲν παῖδες ἐβλάβησαν παντελῶς οὐδέν, μᾶλλον μὲν οὖν εὐεργετήθησαν, ἀγωγῆς φαύλων γονέων ἀπαλλαγέντες, 25 τὰ δὲ τῆς πλεονεξίας διελέγχεται. ἄλλων αὖθις εὖ διακειμένων τελευτῶσιν [οἱ υἱοὶ] ἢ ὡς ἀνάξιοι τῶν φυσάντων γενησόμενοι, ἵνα μὴ στήλη κακὴ ἀγαθῶν ἀναστῶσιν — ἢ ἀγαθοί γε τυγχάνοντες, εἰ ἐπὶ πλέον αὐξηθεῖεν, ὡς ἐκ μεταβολῆς γενησόμενοι φαῦλοι, εὐεργετοῦνται μὴ καθ' ἑαυτῶν διαμένοντες, τῇ προγνώσει τοῦ θεοῦ 30 πάντα διοικοῦντος. **43.** καὶ ἀναγκαῖοί γε λίαν οἱ φόβοι καὶ ποικίλα καὶ ἄπειρα τῷ πλήθει τὰ αἴτια, ὧν δὴ θεὸς οἰκονομεῖ. καὶ τὰ αὐτὰ πολλάκις διὰ ποικίλας προφάσεις συμβαίνει. ὁ μὲν ἀρρωστεῖ δι' ἁμαρτίας ἐπιστρεφόμενος, ὁ δὲ δι' ἀρετὴν ἔτι μᾶλλον γυμναζόμενος εἰς μαρτυρίαν, ἄλλος διὰ ὑπερβολὴν κακίας 35 ἐλεγχόμενος. καὶ τοῦ αὐτοῦ συμπτώματος ποικίλα τὰ αἴτια. ὁ μὲν ἐκπίπτει πλούτου, μὴ καλῶς χρησάμενος, ἄλλος ὡς καλῶς χρησάμενος φειδοῖ θεοῦ, ἄλλος δὲ πρὸς ἀρετὴν διὰ πενίας γυμναζόμενος, ἕτερος ἑκὼν ῥίπτει τῶν χρημάτων τὸ βάρος ὡς

μὴ πρὸς ἀρετὴν ἐμποδίζοιτο. καὶ οὐκ ἂν μέν τις ῥᾳδίως κατίδοι τὴν κατὰ μέρος ἀκρίβειαν ὧν ὁ θεὸς ἀνθρώπων φειδόμενος οἰκονομεῖ. τὰ δὲ ὀλίγα καταλαμβανόμενα πίστις γίνεται τῶν μὴ καταλαμβανομένων. τὰ μὲν γὰρ καὶ αὐτὸς ἀνθρώποις σαφη-
5 νίζει, ὡς ἂν ἔχοιεν ἀναβάσει κεχρῆσθαι τρόπον τινὰ πρὸς αὐτὸν δι' ὧν ἐπαισθάνονται. τὰ δὲ πλεῖστα κρύπτει δι' ἀσαφείας, ἵνα μὴ γένηται τῆς καθ' ἑαυτοῦ γε ἀπιστίας διδάσκαλος. οὐδὲ γὰρ προσῆκε τῶν γινομένων ἑκάστου παρὰ θεοῦ τὴν ἀπόδειξιν ἀπαιτεῖν, ἐπείτοι χαλεπωτέρα γίγνεται τῆς ἀγνοίας ἡ τοιαύτη
10 γνῶσις, ὡς διὰ τοῦτο δυσωπουμένου τοῦ νοῦ ὅτι μανθάνοι, ἄλλως δ' ἂν οὐκ ἂν δεξαμένου πρὸς δικαίαν οἰκονομίαν οὐδὲν ὧν διοικεῖ θεός· βελτίων δὲ ἡ πρὸς θεὸν πίστις τε καὶ διάθεσις καὶ δίχα τοῦ καθορᾶν τὸν νοῦν τῶν πραττομένων θαρρεῖν τῇ τοῦ διοικοῦντος ὀρθότητι, ἐπείτοι τὸ δι' ἀποδείξεων πανταχοῦ
15 προσβιβάζεσθαι ἀπιστία σαφὴς μᾶλλον ἢ πίστις ἂν εἴη. οὐδὲ φίλους γνησίους πολλοὶ περιεργάζονται, τῷ ἀνεξετάστῳ τῆς συνουσίας τὸ γνήσιον νέμοντες, ὡς ῥᾳδίως ἐπ' ἀπιστίᾳ διαβαλλόμενοι, εἰ μηδέποτε τὸ θαρρεῖν τούτοις μετά γε τὴν πεῖραν παρέχοιντο. οὕτω δὴ καὶ θεὸς μάλιστα βουλόμενος ἡμᾶς διακεῖσθαι πρὸς
20 ἑαυτόν, οὐχ ἅπασαν τῆς ἑαυτοῦ προνοίας σαφηνίζει τὴν ἐνέργειαν (ἐθέλει γὰρ ἡμᾶς πιστεύειν αὐτῷ) οὐ μὴν οὐδ' ἅπασαν ἀποκρύπτει, ἀλλὰ δι' ἐνίων ὑποδειγμάτων ὑπερείδει τρόπον τινὰ τὸν ἡμέτερον νοῦν. οἱ μὲν οὖν εὐγνώμονες τῇ προθέσει καὶ εὐσεβέστατοι ἅμα τε διαίσθονται καὶ τὴν μνήμην ἐς ἀεὶ παρα-
25 μένοντες διατηροῦσι, γῆς τρόπον ἀγαθῆς σπέρματα δεξαμένης ἀνθοῦντες πρὸς τὰ καλά. οἱ δὲ πλείονι βαρύτητι τῆς συνηθείας τῶν ἁμαρτημάτων κεχωσμένοι τὸν νοῦν ἢ ἑτέρων προλήψει κατὰ θεοῦ πλασμάτων (οἷα δὴ καὶ ὁ Μάνης ἐξήνεγκε καὶ παρ' ἄλλοις εὕροι τις ἄν) κρούονται μὲν τὴν διάνοιαν, διακρούονται δὲ τῶν
30 ὑποδειγμάτων τὴν αἴσθησιν καὶ τὸ ὄφελος. ταῦτα μὲν προσκείσθω περὶ τῆς καθ' ὅλου προνοίας τοῦ τῶν ὅλων θεοῦ. **44.** ἦν δὲ τὸ ἐξεταζόμενον ἡμῖν περὶ θηρίων ἁπάντων καὶ ἀπεδείκνυτο τοῖς κατὰ φύσιν λογισμοῖς οὔτε κακὰ οὔτε ἐκ κακίας τινὸς ταῦτα, χρήσιμα δὲ λίαν ἀνθρώποις εἰς δέους κατασκευήν. εἰ
35 γὰρ ἅπαντα τὰ κατὰ τὴν δημιουργίαν ἡδέα μόνον ἐτύγχανε καὶ ἱλαρότητος ἔμπλεα καὶ μηδὲν ἦν παντελῶς τὸ ἠρέμα γοῦν ἐκφοβοῦν, χαλεπῶς ἂν ἔδοξαν ἄνθρωποι παιδαγωγεῖσθαι πρὸς ἀφοβίαν. ἔχει δὲ ταῦτα καὶ ποικιλίας κόσμον καὶ τῷ φοβερῷ καταμεμιγμένην τὴν εὐπρέπειαν. αὐτίκα καὶ πρὸς τούτοις ἔστιν

ἕτερα, ἃ μήτε τρέφειν ἀνθρώπους ἐπιτήδεια μήτε περιβολὴν ἐνδυμάτων παρέχειν μήτ' οὖν θηριώδη καὶ ἄγρια τυγχάνει, μόνον δὲ κόσμου τὴν ποικιλίαν ἀναπληροῖ. καὶ δῆλον ὡς ἅπαντα ἥμερά τε καὶ ἄγρια καὶ τὰ μέσως ἔχοντα ἑνὸς ὑποβεβλημένα δημιουργίᾳ τε καὶ βουλήματι διαμένει, τὴν δὲ ἀλληλοφθορίαν 5 διαφεύγοντα καὶ ποικίλοις πλεονεκτήμασιν ἠσφαλισμένα. τὰ μὲν γὰρ ἰσχὺν ἄμαχον ἔχει, τὰ δὲ ἀσθενέστερα τῷ ταχεῖ τῆς φύσεως τὴν σωτηρίαν πορίζεται καὶ ἄλλα ἄλλως ὥπλισται καὶ τὰ δοκοῦντα ἄοπλα τυγχάνειν ἄλλον τινὰ τρόπον μεμηχανημένην ἔχει τὴν ἀσφάλειαν. ἢ γὰρ πτηνῶν ἔλαχε φύσιν ἢ ὑπὸ γῆν 10 διαλανθάνει. οὕτω τὸ μὲν κόσμιον ὁ δημιουργὸς τῇ ποικιλίᾳ πεπόρισται, ἐπανιστῶν δὲ τὰ διάφορα τοῖς πᾶσι διανέμει τὴν ἀσφάλειαν, ὡς ἂν μηδὲν γένος τούτων ἀσθενείᾳ φύσεως προδοθὲν παραπόληται. οὕτω δὴ καὶ πρὸς τὰς ὥρας ἠμφίεσται περιβολαῖς αὐτομάτοις, θριξί τε πυκναῖς καὶ στερεοῖς δέρμασι, 15 χειμῶνός τε καὶ καύματος ἀποκρούσασθαι τὴν βλάβην ἱκανοῖς, τὴν δὲ ἐπὶ γῆς ἀνάκλισίν τε καὶ ἀνάπαυλαν εὐμαρεστέραν ἀπεργαζομένοις, ὡς αὐτοφυῆ στρώμνην ὑποκεῖσθαι δοκεῖν. καὶ τὰ μὲν ὀλιγογόνια ἔλαχεν ἢ ὡς δυσάλωτα ἢ ὡς πολυχρόνια, τὰ δὲ εὐάλωτα καὶ τῇ καθ' ἡμέραν χρήσει παραδεδομένα τῇ πολυ- 20 γονίᾳ διαρκεῖ τε καὶ σώζεται. τροφὰς δὲ ἄλλοτε ἄλλας ἔχει καὶ τοῖς πᾶσιν ἄφθονος ἡ χορηγία πρόκειται. οὕτω γὰρ οὐδὲ τῶν θανασίμων γε εἶναι νομιζομένων βοτανῶν οὐδεμία τῇ φύσει γε ὀλέθριος γεγένηται. τὸ γὰρ ἄλλῳ γένει βλαβερόν, ἑτέρῳ δὲ ὠφέλιμον, ὀλέθριον καὶ σωτήριον ἅμα τῇ φύσει τοῦτο πῶς 25 ἂν γένοιτο; ἡ δέ γε τῶν χρωμένων γενῶν διαφορὰ τὸ ποικίλον τῆς ἐν τούτοις παρασκευῆς ἀπαιτεῖ, ἵνα καὶ ἐν τοῖς ἀλόγοις ἴχνος λόγου δειχθείη νόμῳ τοῦ δημιουργήσαντος. οὐδὲν γὰρ τούτων ἀγνοεῖ τὸ οἰκεῖον ἑαυτῷ οὐδὲ διὰ τὴν ἄλογον καὶ θηριώδη φύσιν ὡς τρόφιμον τὸ ἑαυτοῦ θανάσιμον προσφέρεται, 30 ἀλλ' ἐπὶ τὸ αὐτοῦ γε ὠφέλιμον ἕκαστον ὁρμᾷ. εἰ γὰρ ἅπασα βοτάνη καὶ ῥίζα τοῖς πᾶσιν ὑπῆρχεν ἐπιτηδεία, ἧττον ἂν ἐδείχθη τοῦ δημιουργήσαντος ὁ νόμος καὶ ἐν τοῖς ἀλόγοις κρατῶν. τὸ δὲ βλαβερὸν ἐνίοις, ἑτέροις δὲ ταὐτὸ σωτήριον παρακείμενον, τρανωτέραν τὴν ἐν τοῖς πᾶσι σοφίαν κηρύττει, ὅτι καὶ ἐν τοῖς 35 ἀλόγοις φυσική τις ἐστὶ τῶν εἰς τροφὴν παρακειμένων ἡ διάκρισις, ἧς φυσικῶς γε ἑκάστῳ μὴ ἐνούσης, εὐλόγως ἄν τις κατηγόρησε τῶν βλαβερῶν ὡς ἐκ κακίας προενηνεγμένων. εἰ δέ γε προὔλαβεν ἐν τοῖς ζῴοις ἡ φυσικὴ διάκρισις τὴν κρίσιν καὶ τὸ

οἰκεῖον ἕκαστον ἐκλέγει, πᾶσα δηλαδὴ βοτάνη καὶ ῥίζα χρήσιμος (εἰ καὶ μὴ τοῖς πᾶσι), ποικίλα δὲ τὰ ποικίλως παρακείμενα.
45. περιγραπτέον τοίνυν τοῦτον τὸν τρόπον καὶ τὴν κατὰ τῶν θανασίμων λεγομένων βοτανῶν κατηγορίαν τῷ μανέντι, πάντα διαβάλλειν ἐσπουδακότι. οὕτω γὰρ καὶ σιδήρου καὶ πυρὸς καταψεύδεται, τοὐναντίον ποιῶν καὶ ἐν τούτοις οὗ βούλεται. κατηγορῶν γὰρ τῆς ὕλης (ἣν εἶναι μάτην φαντάζεται) αὖθις ὥσπερ τις προστάτης καὶ συνήγορος αὐτῆς ἀναφέρεται, τοῖς γε δαπανῶσι τὴν ὕλην ὡς κακοῖς ἀπεχθανόμενος. σίδηρος δὲ καὶ πῦρ κατέσπαρται μὲν ἐν γῇ πρὸς τοῦ δημιουργήσαντος, ἐξευρέθη δὲ ἀνθρώπου λογισμῷ κατ' ἐπιτροπὴν θεοῦ. τούτων γὰρ χωρὶς παντελῶς ἠκρωτηρίαστο ἀνθρώποις ὁ βίος. εἰ γὰρ βλαβερὰ πρὸς τοῦ μανέντος νενόμισται τῷ καταφθείρειν τὰ παραβαλλόμενα σώματα, πολλῷ μᾶλλον ὠφέλιμά τε καὶ σωτήρια φανήσεται τῇ ἀναγκαίᾳ χρήσει πρὸς ἅπαντα· εἰ δὲ λανθάνοντα ἐνυπάρχει τῇ δημιουργίᾳ, ἀνθρώπου δὲ ταῦτα λογισμὸς τὴν ἀρχὴν ἐξεῦρε, τίνι λογιστέον τὸν εὑρόντα λογισμόν; ἆρα τῇ μὴ ἐχούσῃ γνῶσιν κακίᾳ τε καὶ ὕλῃ κατ' ἐκεῖνον ἢ τῷ ἀγαθῷ; ἀλλὰ δῆλον ὡς λογισμοῦ σοφία ἀγαθόν τε καὶ ἀγαθοῦ δῶρον. τίνι δὲ αὐτομάτως ἀφήλατό ποτε σίδηρος ὁ τῇ χρήσει τοῦ λογισμοῦ μόνον ὑποβεβλημένος καὶ πάσῃ τέχνῃ δουλεύων; ἀλλὰ φονεύει, φησί, δι' αὐτοῦ ἄνθρωπος καὶ πρὸς τὸ ἐργαλεῖον ἡ κακοτεχνία τοῦ χρωμένου, ὡς, εἰ μὴ ἦν ὁ τοῦτον τὸν τρόπον χρώμενος, οὐκ ἄν γε ἔδοξεν εἶναι σίδηρος κακός. εἰ γὰρ βουλεύσαιτο μὲν ὁ φονεὺς δρᾶσαι φόνον, διαμάρτοι δὲ τῆς πράξεως, ἆρά γε οὐ δῆλον ὡς ἡ μὲν πρόθεσις τὸ ἔργον διεπράξατο, ὁ δὲ σίδηρος ἀναμάρτητος; οὕτω δὴ κἂν δράσῃ, οὐχὶ σίδηρος αἴτιος, ἀλλ' ὁ σιδήρου τῷ τεμεῖν οὐ κατὰ λόγον χρησάμενος. εἰ δὲ ξύλῳ παίσει ἢ λίθῳ κρούσει ἢ χερσὶν ἰδίαις ἀποπνίξει, αὖθις καὶ ταῦτα προσαγορεύσει κακά. καὶ πάντα μᾶλλον αἴτια παρὰ τῷ μανέντι ἢ τὸ ὄντως αἴτιον, ὁ ἑκούσιος λογισμός. τὰ γὰρ ῥηθέντα πάντα μετὰ σιδήρου οὔτ' ἀγαθὰ οὔτε κακὰ τυγχάνει, ἕλκεται δὲ πρὸς ὃ ἂν βουληθείη ὁ χρώμενος, ἐργαλείων δίκην παρακείμενα καὶ τῷ χρωμένῳ δουλεύοντα, ἅπερ εἰ μὴ παραδέδοτο ἀνθρώπῳ, οὔτ' ἂν τὰς τέχνας οὕτω διήνυσεν οὔτ' ἂν τὰς χρήσεις τὰς ἀπ' αὐτῶν ἔσχεν ἀφθόνους· ὃ δὲ δὴ μεῖζον, ἥκιστα ἂν διεγυμνάσθη πρὸς ἀρετήν. τῷ γὰρ μὴ ἔχειν ἐργαλείων παράθεσιν ἕλκεσθαι δυναμένων πρὸς ἐργασίαν ἀρετῆς τε καὶ κακίας οὐκ ἄν γε ἔσχεν ἐφ' ἑαυτῷ τῆς ἀρετῆς τὴν προτίμησιν, ὡς ἐς τὰ μάλιστα ἂν

ἐζημιῶσθαι καὶ μεγίστης εὐδοκιμήσεως ἐκπεπτωκέναι δοκεῖν, εἴπερ διὰ τοῦτο δοκοίη κακουργίας μὴ ἅπτεσθαι, ὅτι μὴ δι' ὧν ἂν δράσειεν εὐπόρησεν. τὸ γὰρ παντελῶς ἄπρακτον ἀργόν τε καὶ ἄδοξον. ἀλλ' ὅρα, φήσειεν ἄν, τὸ ἀποβαῖνον. καὶ πλέον οὐδὲν τοῦ ἀναγκαίου συμβαίνει. θάνατος γὰρ οὐ διὰ φονέως 5 εὕρηται, ἀλλὰ πρὸς τοῦ δημιουργοῦ νενομοθέτηται, καὶ εἴγε τις σπουδάζει σίδηρον καὶ ξύλον καὶ λίθον, πῦρ τε καὶ ὕδωρ καὶ τὰ τοιαῦτα ὡς κακοποιὰ διελέγξαι, τῶν ἐργαλείων τὴν ἀρχὴν ἀφέμενος, μόνον τὸ ἀποβαῖνον (λέγω δὴ τὸν θάνατον) διελεγχέτω καὶ δεικνύτω τοῦτον οὐ κατὰ λόγον ὡρισμένον πρὸς τοῦ δημι- 10 ουργοῦ, καὶ οὕτως ὕστατον κακὰ προσαγορευέτω τὰ κακῶς συναιρούμενα· εἰ δὲ θάνατος ὑπ' οὐδενὸς ἀναδειχθείη πονηρός, τοὐναντίον μὲν οὖν (ὡς διὰ πολλῶν δέδεικται) καὶ ὠφέλιμός γε τυγχάνει, πῶς οὐ παρέλκει τὰ δι' ὧν ἂν συμβαίη θάνατος, τούτων ὡς κακῶν φύσει κατηγορεῖν, οὐκ εἰδότων μὲν ἐφ' ὃ 15 σαλεύεται πρὸς ἑτέρου ᾧ παρεδόθη, πάσης δ' αἰτίας ἀπηλλαγμένων, δέον τὸν κινοῦντα μόνον αὐτὰ ὅτε μὴ προσῆκεν, ἄνθρωπον, αἰτιᾶσθαι. **46.** οὕτω γὰρ πρὸς ἀλήθειαν ἀποδέδεικται μηδὲν μὲν τῶν κατὰ τὴν δημιουργίαν εἶναι κακόν, μόνον δὲ τὸν ἀνθρώπινον λογισμὸν ἐξουσίαν ἀναγκαίως λαμβάνοντα ἔστιν 20 ὅτε πλημμελεῖν, πλημμελοῦντα δὲ διελέγχεσθαι μόνον, ὅτι προτετίμηκε τὸ χεῖρον, μηδὲν δὲ κατὰ τῆς φύσεως καινοτομεῖν δύνασθαι μηδὲ τὰ ἄνω κάτω ἐπ' αὐτῷ εἶναι ποιεῖν, ἀλλὰ τὸ κατὰ φύσιν μόνον δρᾶν, κἂν παρὰ λόγον κατηγορῆται ποιεῖν, οἷον φόνος θάνατον τὸν κατὰ φύσιν ἐργάζεται, οὐδὲν πλέον 25 ποιῶν τοῦ κατὰ φύσιν ἢ ὅσον ἐλέγξαι τὸν δράσαντα· μοιχεία αὖθις καὶ τὰ τοιαῦτα τῷ παραλόγῳ μόνον τοῦ λογισμοῦ κατηγορεῖται, κατὰ δὲ τῆς φύσεως τῆς ὡρισμένης ὑπὸ τοῦ δημιουργοῦ καινοτομεῖν παντελῶς οὐδὲν δύναται, ὡς ἀπαράβατον μὲν εἶναί τε καὶ μένειν τὸν νόμον τοῦ τὴν φύσιν δημιουργήσαντος, ἐν 30 αὐτοῖς δέ που τοῖς κατὰ φύσιν στρέφεσθαι τὰ ἁμαρτήματα, μηδεμίαν ἐπεισάγοντα καινότητα, ἢ ὅτι μόνον τὸν πράττοντα διελέγχει ἑκόντα πλημμελοῦντα, ὡς οὐκ ἂν ἑτέρως δυνηθέντα κατορθοῦν, εἰ μὴ καὶ τό γε ἐναντίον εἶχεν ἐφ' ἑαυτῷ, οὗ τὴν ἑκούσιον ἀποφυγὴν πρὸς ἀρετῆς κτῆσιν ἔχει. οὐκοῦν ἀκροτάτης 35 ἀνοίας ἔργον μάτην σίδηρον ἢ ξύλον ἤ τι τῶν ἄλλων αἰτιᾶσθαι καὶ μὴ τὸν χρώμενον παραλόγως. **47.** εἰ δέ τις ζητοίη, διὰ τί φονεύεταί γε ἄνθρωπος, αὖθις μὲν εἰρήσεται τὸ πολλάκις λελεγμένον τὸ Διὰ τί οὖν ὅλως ὁ ἄνθρωπος ἀποθνήσκει; — ὅπερ εἰ

δειχθείη κακόν, εὐλόγως ἀνατρέχει κατὰ τοῦ ὁρίσαντος ἡ αἰτία. εἰ δὲ μὴ κακὸν θάνατος, τὴν συγχώρησιν μόνον τοῦ προνοοῦντος τῶν καθ' ἡμᾶς ἐξεταστέον, τοῦ χάριν ἄνθρωπος φόνου τρόπῳ περιπίπτει τῷ μὴ κατὰ φύσιν κακῷ θανάτῳ· καὶ εὑρεθείη γ'
5 ἂν αὕτη κατὰ πολλὰς καὶ ποικίλας αἰτίας συμβαίνουσα, ἃς περίεργον ἂν εἴη καταριθμεῖν. δικαίῳ γὰρ καὶ ἀδίκῳ κατὰ διάφορον αἰτίαν ταὐτὸ συμβαίνει, οὔτε τῷ δικαίῳ πρὸς βλάβην οὔτε τῷ ἀδίκῳ πρὸς τιμωρίαν. οὐ γὰρ ἂν εἴη τιμωρία τὸ κατὰ φύσιν, ἀλλὰ πρὸς ὑπόδειγμα ἢ πρὸς κόλασιν ἀνηκέστων κακῶν. καὶ
10 πολλά γε τὰ αἴτια τοῦ συγχωρεῖν θεὸν φονεύεσθαι ἄνθρωπον, δῆλον μέντοι ὡς οὐδὲν πλέον τοῦ κατὰ τῆς φύσεως ὡρισμένου συμβαίνει. κἂν γὰρ διάφορον ᾖ τὸ τῆς περιστάσεως, πυρετοῦ τε καὶ πλησμονῆς ἀμέτρου ἢ τοὐναντίον λιμοῦ, ψύχους τε καὶ καύματος, χώματός τε καὶ λιθασμοῦ, ξίφους τε καὶ πυρὸς καὶ
15 ὕδατος, ἀλλά γε ἐν τούτοις ἅπασιν ἕν γε τὸ ἀποβαῖνον. τί δ' ἂν εἴη τοῦτο; τὸ πρὸς τοῦ δημιουργοῦ καλῶς γε καὶ προσηκόντως ὡρισμένον κατὰ παντὸς τοῦ γένους. **48.** οὕτω μὲν οὖν καὶ κατὰ πολλοὺς ἑτέρους τρόπους δειχθείη ἂν οὐδὲν τῶν κατὰ τὴν δημιουργίαν κακὸν οὔτε μὴν τῆς θείας οἰκονομίας τι διαβεβλη-
20 μένον, ἀλλὰ πάντα μὲν ἀρρήτῳ σοφίᾳ γεγενημένα, ἀρρήτῳ δὲ προνοίᾳ διοικούμενα· ὡς οὐκ ἂν εἴη ῥᾴδιον τῶν πρὸς θεοῦ γιγνομένων, χρηστῶν τε καὶ αὖθις ἀνιαρῶν εἶναι δοκούντων, τὸν νοῦν καταμανθάνειν. οὐ γὰρ ἐχρῆν γε (ὡς ἔοικε) βατὰ τοῖς πᾶσιν ὑπάρχειν τῆς τοῦ θεοῦ σοφίας τὰ τεκμήρια καὶ τὸν ἄρρη-
25 τον καὶ ἀκατάληπτον νοῦν πάντῃ γυμνὸν εἶναι ἀνθρώποις, ὅπου γε καὶ βασιλέως ἀνθρώπου καὶ ἄρχοντος ἔστιν ὅτε τὰ πλεῖστα τῶν βουλευμάτων κέκρυπται, ὡς καὶ τὸ πραττόμενον ἄδηλον εἶναι ὅ,τῳ λόγῳ πράττεται. οὐ τοίνυν θαῦμα, εἰ ἄνθρωποί γε μὴ χωροῦσιν ὅλης τῆς διοικήσεως τοῦ θεοῦ τὸν λόγον, οἷς
30 ἁρμόττει καὶ δίχα τοῦ πολυπραγμονεῖν ὑποκεῖσθαι καὶ ἡσυχάζειν καὶ ἥκιστα ἀνταίρειν κατὰ τῆς ἀρρήτου διοικήσεως. πολλάκις γὰρ οὐδὲ τεχνίτην εἴτ' οὖν οἰκοδομίας ἢ ναυπηγίας ἢ χαλκευτικῆς ἔμπειρον αἰδούμενοι περιεργαζόμεθα, ποιοῦντά γε τὸ οἰκεῖον ἕκαστον, ἀλλὰ τῇ πείρᾳ καταπιστεύσαντες ἐκδεχόμεθα
35 τοὔργον ἰδεῖν. ἔστι δὲ ὅτε καὶ σφαλ[λ]ομένων οὐκ ἐπαισθανόμεθα. τί δ' ἂν [ε]ἴποιμεν περὶ τῆς ὑπὲρ ἅπαντα νοῦν σοφίας τοῦ θεοῦ, ἣν προσῆκε νοοῦντας καὶ μὴ νοοῦντας ἐκπλήττεσθαί τε καὶ τιμᾶν; **49.** εἰ δέ τις διὰ τὸ μὴ καταλαμβάνειν τὸν λόγον τῶν πλειόνων πρὸς θεοῦ γιγνομένων ἐκπέσοι πρὸς ἀτόπους κατὰ θεοῦ δόξας,

ἀθλιώτατος καὶ λίαν ἀνόητος ὁ τοιοῦτος, αὐτῇ γε τῇ τυφλότητι τῆς ἰδίας διανοίας ὁδηγῷ χρώμενος· ὥσπερ ὁ Μάνης ὁ χαλεπωτάτην μανίαν κατά γε τῶν αὐτῷ πειθομένων ἐπινοήσας, ἐπεὶ μὴ κατέλαβε τίνα τρόπον τὰ καθ' ἡμᾶς διοικεῖται, δευτέραν ἀρχὴν ἄναρχον κακίας ἐπλάσατο, ἵνα καὶ τῶν ἄνω σφαλῇ καὶ 5 τὰ κάτω νοῆσαι μὴ συγχωρηθῇ, τοιαῦτα κατὰ τοῦ θεοῦ τῶν ὅλων πλαττόμενος οἷά γε τὴν ἀνεξικακίαν αὐτοῦ τὴν ἀνωτάτω κηρύττειν. διεῖλε γὰρ τὰ τοῦ θεοῦ καὶ τὰ πλεῖστά γε ἀνέθηκε τῇ μὴ οὔσῃ κακίᾳ, παντοίως βλασφημῶν τὸν δημιουργόν, ἐκ κακίας συγκεῖσθαι λέγων τοῦ θεοῦ τὰ κατορθώματα. **50.** τί τοίνυν 10 φαίη ἂν περὶ τῶν ἀρχῶν τῶν σωμάτων; τέσσαρες μὲν γὰρ αὗται, ἃ δὴ καὶ καλεῖν εἰώθασιν τέσσαρα στοιχεῖα, ἅπερ ἐναντία μὲν ἀλλήλοις καὶ ἀκριβῶς ἀντικείμενα, οὐδὲν δὲ τούτων ἀποτελεῖν τι καθ' ἑαυτὸ δύναται. τί γὰρ ἂν εἴη τὸ ξηρὸν ἄνευ τοῦ ὑγροῦ; ἢ τί δ' ἂν εἴη τὸ θερμὸν δίχα τοῦ ψυχροῦ; εἰ οὖν 15 τῶν ἐναντίων σύνοδος ἀποτελεῖ σῶμα, ποῖα τῶν τεσσάρων ἐκεῖνος ἀναθήσει τῇ κακίᾳ; ἢ ποῖα τῷ ἀγαθῷ; εἰ γὰρ ἐν τοῖς πᾶσιν ἀγαθοῦ τε καὶ κακοῦ κρᾶσιν φαντάζεται, ἐπάναγκες διελεῖν εἰς δύο τὰ τέσσαρα καὶ ταῦτα εἶτ' οὖν ἐξ ἴσης διαστῆσαι ἢ τρία πρὸς ἓν χωρίσαι· ἀλλ' ὅπερ ἂν ἀπονέμοι τῷ ἀγαθῷ, εὑρεθείη 20 ἂν καθ' ἑαυτὸ βλάψαι δυνάμενον. οὐδὲν γὰρ τῶν τεσσάρων ἄκρατον καὶ οὐχὶ σφαλερόν. αὐτίκα καὶ ἐν τῇ κράσει τὸ πλεονάζον ὀλέθρου γίνεται τῷ σώματι παραίτιον, ὡς φασὶν οἱ τούτων ἔμπειροι. εἰ τοίνυν τὸ μὲν θερμὸν καθ' ἑαυτὸ καίει, τὸ δὲ ψυχρὸν ψύχει, ξηραίνει δὲ τὸ ξηρόν, κατακλύζει δὲ τὸ ὑγρόν, ποῖον λο- 25 γιεῖται τούτων ὁ πλάνος τῷ θεῷ; αὐτὸ μὲν γὰρ ὅλον τὸ σῶμα κρᾶσιν ἔχειν ἐκ τούτων εἰκὸς δι' ὧν καὶ σύγκειται καὶ ὑφέστηκεν, ἀφ' ὧν δὲ ἡ κρᾶσις ἐκ κράσεως εἶναι ἕκαστον οὐκ ἐνδέχεται· ὥστε οὐκ ἔχει λόγον αὐτῶν γε τῶν ἀτόμων στοιχείων ἕκαστον καταμερίζειν εἰς ἐναντίας δύο ἀρχὰς καὶ κρᾶσιν αὐτῶν 30 ἑκάστου εἰσηγεῖσθαι. ποίαν γὰρ ἐπινοήσει τῷ ξηρῷ σύνθεσιν ὁ πλάνος; ποίαν δὲ κρᾶσιν τῷ ἀκράτῳ πυρί; ἢ τίνα συμπλοκὴν τῷ ψυχρῷ, ψυχρῷ δι' ὅλου τυγχάνοντι; παραπλησίως δὲ καὶ τῷ ὑγρῷ. μονοειδῆ γὰρ καὶ ἀμέριστα σαφῶς ταῦτα τυγχάνει, ὥστε τούτων ἕκαστον οὐδὲ ὑποσταίη καθ' ἑαυτό, ἀλλὰ καὶ σὺν 35 ἀλλήλοις ἔχει τὸ εἶναι. **51.** μαίνεται τοιγαροῦν μανίαν χαλεπήν, ὅταν τοῦ πυρὸς τὸ μὲν τὶ τοῦ ἀγαθοῦ φάσκει, τὸ δὲ τὶ τοῦ κακοῦ. ποιεῖν δὲ τοῦτο ἐπάναγκες αὐτῷ καὶ ἐπὶ τῶν ποιοτήτων τῶν στοιχείων καὶ διαιρεῖν τὰ διαίρεσιν μὴ ἐπιδεχόμενα.

τό τε γὰρ ξηρὸν δι' ὅλου ξηρὸν καὶ αὐτοξηρότης ἁπλῆ τε καὶ μονοειδής· καὶ τὸ ψυχρόν, οὐδὲ εἰς ἐπίνοιαν διαιρέσεως ἐλθεῖν δυνάμενον, ἕν τε καὶ ἁπλοῦν δι' ὅλου τυγχάνον. οὕτω δὴ καὶ τὸ ὑγρὸν καὶ τὸ θερμόν. τί τοίνυν τοῦ πυρὸς ἔσται τοῦ ἀγαθοῦ;
5 καὶ τί τοὐναντίον τοῦ κακοῦ; ὁπότε διαίρεσιν οὐκ ἐπιδέχεται, ἐπειδή γε οὐδὲ κρᾶσιν ἐπεδέξατο, ἄκρατον ὄν. τὸ μὲν γὰρ ἓν σῶμα καὶ διαιρεῖται τῇ γοῦν ἐπινοίᾳ, τὸ δὲ ἄκρατον στοιχεῖον πῶς ἐξ ἐναντίων συγκεῖσθαι δόξειεν ἄν; ποίαν δὲ καὶ ἐναντιότητα λογίσηταί ἄν τις ἐν ἀκράτῳ πυρί; εἰ τοίνυν ἕκαστον ἐπι-
10 σφαλὲς δι' ὅλου καθ' ἑαυτό, οὐδὲν αὐτῶν κατὰ τὸν τοῦ μανέντος λόγον ἁρμόσει τῷ ἀγαθῷ, ἀλλὰ πάντα μὲν ἀνακείσεται τῷ κακῷ, οὐκ ἔσται δὲ τὰ σώματα ἐξ ἑτέρου συγκείμενα, ἀλλοτρίως τῇ τοῦ μανέντος ὑποθέσει. **52.** πῶς δὲ αὐτῷ τὸ μέν τι τοῦ πυρὸς δόξει θεραπευτικόν (ὅσον τοῦ ἀγαθοῦ), τὸ δέ τι
15 ὀλέθριον καὶ καυστικόν (ὅσον τοῦ κακοῦ), εἰ μὴ καὶ τῶν σωμάτων κρᾶσιν ἀγαθοῦ τε καὶ κακοῦ μανικῶς ἐφαντάζετο; ὅπερ οἰόμενος ἀναγκασθήσεται ἀπονεῖμαι τῷ ἀγαθῷ τῶν τεσσάρων στοιχείων ἅπερ ἂν θέλοι ὁλόκληρά τε καὶ ἀδιαίρετα, οὕτως ἔχοντα φύσει, καὶ ὀφθήσεται ὁμολογῶν ὑπάρξαι καὶ ἐκ θεοῦ
20 ἄκρατόν τε καὶ καθ' ἑαυτὸ βλαπτικόν. διαιρεῖ δὲ ὁ ἀνόητος τοῦ πυρὸς τὴν ἀδιαίρετον φύσιν, τὸ θεραπευτικὸν ἕτερον αὐτοῦ λέγων εἶναι καὶ τὸ καυστικὸν ἕτερον, μὴ συνιεὶς ὁ βάρβαρος ὡς ἐν τῇ χρήσει ἡ διαίρεσις, ἀλλ' οὐκ ἐν τῇ φύσει τοῦ πυρός. τούτου γὰρ ἡ μὲν ἄμετρος ἐγγύτης ἐπιβουλή, ἡ δὲ μετρία διά-
25 στασις ἀσφαλῆ γε φέρει τὴν μετουσίαν, ἄλλως τε αὐτὸ δὴ τὸ καυστικὸν τοῦ πυρὸς καὶ μόνον ἀναγκαῖον, ὅπερ καὶ πῦρ τυγχάνει. τοῦτο γὰρ καὶ μαλάττει καὶ τήκει τὰ πρὸς τὴν χρείαν ἀναγκαίως προσφερόμενα, ὡς μηδὲν ἕτερον εἶναι τὸ πῦρ ἢ τὸ καυστικὸν αὐτοῦ, μηδὲν δὲ ἕτερον εἶναι τὸ ἀναγκαῖον ἢ τοῦτο.
30 ὁ δὲ μάτην τὸ πῦρ ἐνυβρίζει, λίαν ἀχάριστος ὢν πρὸς τὰς παρὰ τοῦ δημιουργοῦ τῶν ὅλων εὐεργεσίας. **53.** εἰ δέ τις θείη τὰ τέσσαρα στοιχεῖα τῇ κακίᾳ κατ' ἐκεῖνον προσήκειν, πῶς ἂν ταῦτα μιᾶς φύσεως, ἐναντία γε ὄντα, ὑπάρχειν δοκοίη; εἰ γὰρ αὐτόθεν τὸ θερμόν, τὸ ψυχρὸν ἑτέρωθεν, ἢ ἀνάπαλιν, καὶ οὕτως
35 αὖθις ἐπὶ τῆς ἄλλης συζυγίας, ὥστε ἀσύστατος καὶ ἡ τῶν σωμάτων κρᾶσις κατὰ τὴν τοιαύτην ὑπόθεσιν. εἰ δὲ ἐπινοίᾳ τῆς κακίας ἀναθείη τῶν τεσσάρων τὴν εἰς κατασκευὴν εὕρεσιν, σοφωτάτη γε λίαν ἀναφανήσεται ἡ γνῶσιν καὶ σύνεσιν μὴ κεκτημένη κακία, ὡς καὶ τοῦ δημιουργοῦ τὸ μέγιστον ἀποφέρεσθαι

θαῦμα, εἴγε συνεῖδε τίνα ἂν τρόπον ὑποστήσηται. **54.** ἐπειδὴ δὲ ἥλιον σεμνύνει καὶ ἀμιγῆ εἶναι (ὡς ὑπείληφε) τοῦ κακοῦ διορίζεται, φέρε καὶ περὶ ἡλίου φιλαλήθως κατίδωμεν. ὀφθήσεται γὰρ ἑνὸς τῶν τεσσάρων στοιχείων ὑπάρχων, λέγω δὴ τῆς θερμῆς οὐσίας. οὐ βλάπτει μὲν γὰρ τὰ ὑποκείμενα, μόνον δὲ θερμαίνει 5 καὶ ὠφελεῖ διὰ τὸ πλεῖστον ἀφεστάναι· οἷς δὲ πλέον προσεγγίζει, καίει τε καὶ ἄγονον τὴν τοιαύτην γῆν ἀπεργάζεται· αὐτίκα καὶ θέρους ὥρᾳ ἄκρατος προσβαλὼν τῇ γῇ κατὰ μεσημβρίαν οὕτως θερμαίνει ταύτην, ὥστε καυτῆρος δίκην ὑποβεβλῆσθαι δοκεῖν τοὔδαφος τοῖς ἐπιβαίνουσι γυμνοῖς τοῖς ποσί. πολλάκις 10 δὲ καὶ τῇ φλογὶ τῇ ἡλιακῇ παραπεσόντες ἄνθρωποι πολλῷ γε τῷ καύματι διεφθάρησαν, τὸ παραμυθούμενον ἐγγύθεν μὴ εὑρόντες. μελαίνει δὲ τὰ σώματα καὶ διακαίει, σαφῶς τὰ πυρὸς ἐνεργῶν. μᾶλλον δὲ πυρὸς αὐτὸς γόνιμός ἐστιν, εἴ τις ἐν ἀγγείῳ ὕδωρ ὑελίνῳ ἄντικρυς αὐτῷ προσαγάγοι. συναγομένη γὰρ τῷ 15 διαυγεῖ τοῦ τε ὕδατος καὶ τῆς ὑέλου τῆς ἡλιακῆς ἀκτῖνος ἡ ἀκμὴ καὶ πρὸς στενὸν μὲν παραπεμπομένη προσομιλοῦσά τε ὕλῃ, ῥᾳδίως πυρὸς ἀντιλαμβανομένη, ἅμα τε τίκτει πῦρ καὶ σαφῶς πείθει τὸν μὴ φιλον[ε]ικεῖν ἐθέλοντα ὡς πυρὸς εἶδος μὲν ἐστὶν ὁ ἥλιος, τῶν δὲ τῆς δημιουργίας λαμπρῶν ἔργων ὁ πρῶ- 20 τος, ἐπειδὴ καὶ τοῦ πυρὸς ἡ φύσις ἁπάντων γε ἂν εὑρεθείη λαμπροτέρα. πάντων γὰρ τῶν ἄλλων στοιχείων κάτω φερομένων τὸ πῦρ μόνον τοῖς μὲν καυστοῖς ἐπιπηδᾷ, ἄνω δὲ τὰ πάντα τὴν πορείαν ἔχει, λεπτότητι κουφιζόμενον καὶ αὐτόν γε τὸν ἀέρα βαρύτατον ἀπελέγχον τῷ γε ὑπερβαίνειν αὐτόν, ὡς καὶ 25 τούτου λεπτότερον διαφαίνεσθαι συγγενείᾳ τῇ πρὸς τὸν ἥλιον. ὁ τοίνυν Μάνης ἐκθειάζων ὡς τῆς φύσεως ὄντα τοῦ ἀγαθοῦ τὸν ἥλιον, κινδυνεύει πυροειδῆ, μᾶλλον δὲ σαφῶς τοιοῦτον δή τινα τὸν ἀγαθὸν εἰσάγειν. ἥλιος γὰρ τῆς θερμῆς ὑπάρχων οὐσίας τῇ θέσει πυρὸς διαφέρει, τῇ δὲ ἐνεργείᾳ ταὐτὸ δρᾷ, εἰ μὴ τῆς 30 διαστάσεως τὸ μέτρον ἐξῃρεῖτο τὰ παρακείμενα τῆς ἀκμαιοτέρας αὐτοῦ προσβολῆς. ἀλλὰ μὴν κἂν τοῖς πᾶσιν ἐπίβουλος ἐνομίσθη ζῴοις τε καὶ φυτοῖς, εἰ μὴ συγκατεσκευάσθη γε αὐτῷ παρὰ τοῦ δημιουργοῦ πρὸς ἐπικουρίαν ἕτερα δι' ὧν τὸ πρὸς ἥλιον ἀσφαλὲς ἡμῖν τε καὶ τοῖς ἄλλοις ζῴοις ὑπάρχει. ἔστι δὲ ταῦτα κατα- 35 δύσεις τε καὶ σκέπαι, πρὸς δὲ καὶ φυτοῖς ὑδάτων τε χορηγίαι καὶ ἀνέμων πνοαί. ὥστε καὶ οἱ πέμπτον στοιχεῖον ὁριζόμενοι εἶναι τὸν ἥλιον πρός γε τὰ σαφῆ μὴ φιλον[ε]ικούντων ἐς...... καὶ οὕτως αὐτὸς ὁ χαλεπώτατα μανεὶς τὸν τῶν ὅλων δημιουργὸν

βλασφημῶν ἥκιστα πιστευέσθω ἥλιον συγκρίνων θεῷ καὶ ἐκ τῆς
οὐσίας αὐτοῦ λέγων εἶναι τοῦτον. πᾶν γὰρ ὁρατὸν (ἅτε δὴ
σῶμα τυγχάνον) ἀντιτέτακται φύσει τῷ ἀοράτῳ καὶ ἀσωμάτῳ,
οὗ ἔργον μὲν εἶναι δύναται καὶ μάλα γε θαυμάσιον ἔργον,
5 ὁμοιότητα δὲ φύσεως πρὸς αὐτὸν οὐδεμίαν ἔχειν. **55.** ὅσα μὲν
οὖν ὁ πλάνος ἐντέθεικεν ἀσεβῆ τοῖς ἰδίοις συγγράμμασι, πολὺ
ἂν ἔργον εἴη καταριθμεῖν· λοιδορούμενος γὰρ τοῖς οὖσιν ἅπασιν
ὡς κακοῖς, καὶ τοὺς καρποὺς τοὺς ἀπὸ γῆς ἅμα διαβάλλει ὡς
θρεπτικοὺς τῆς ὕλης. καὶ ἥλιον μὲν ὑπερθαυμάζει καὶ ἐκ τοῦ
10 ἀγαθοῦ γε εἶναι, ὥς φησί, διορίζεται, ἃ δὲ τρέφει θερμαίνων
φυτά τε καὶ σπέρματα, πικρῶς οὐκ αἰσχύνεται κακίζων, ἅπερ
οὐκ ἂν συνέστη παντελῶς ἡλίου δίχα, πρὸς θεοῦ γεγενημένου.
ὡς γὰρ οὐδὲν ἂν ὤνησεν ἥλιος, εἰ μὴ ὄμβρων ἦρδευον χορηγίαι
τὰ φυτὰ καὶ ἀνέμων ὠφελίμων διεσάλευον πνοαί, οὕτως αὖ
15 ὄμβροι καὶ τὰ ἄλλα ἡλίου δίχα ὠφέλησεν ἂν οὐδέν. ἆρ᾽ οὖν
ἐκεῖνος ἰσχυρῶς ἑαυτῷ καὶ ὧδε μάχεται, πικρῶς διαβάλλων εἰς
κακίαν τοὺς ἀπὸ γῆς καρπούς, διὰ ἡλίου γε αὐξανομένους, ὃν
πάνυ θαυμάζει καὶ τιμᾷ. **56.** τοὺς δὲ ὄμβρους περιττώσεις
εἶναι λέγων καὶ τῶν ἀρχόντων τῆς ὕλης ἐρωτιώντων πρὸς τὰς
20 τοῦ ἀγαθοῦ δυνάμεις καὶ οὕτω δὴ καμνόντων ἱδρῶτας αὐτοὺς
εἶναι διοριζόμενος, τὸ παρέλκον αὐτῶν (ὡς αὐτὸς οἴεται) καὶ
τὸ περιττὸν πειρᾶται δεικνύναι τῷ καὶ τὴν θάλαττον καὶ τὴν
ἐρημόν τε καὶ ἄσπορον ὕεσθαι· ὥσπερ τις ἀκριβὴς λογιστὴς
κατὰ θεοῦ παρελθὼν ὡς μάτην καὶ ἀσώτως ἀναλίσκοντος τῶν
25 ὑδάτων τὴν παρασκευήν, δι᾽ ἀκροτάτην ἄνοιαν τὸ πρέπον θεῷ
μὴ βλέπων, ὡς εἰ μὲν ἐπτώχευε τοῖς ὕδασι θεός, ἀκριβῆ καὶ
τῇ χρείᾳ σύμμετρον ἐποιεῖτο τούτων τὴν ἐπίδοσιν, ἐπειδὴ δὲ
πλουτεῖ (καὶ ὅσον γε οὐκ ἄν τις εἰπεῖν δύναιτο) αὐτό γε τοῦτο
τὸ ἄφθονον τῆς παρασκευῆς δείκνυσι τὸ καὶ θάλατταν, ἀφ᾽ ἧς
30 ἀνακομίζε[τα]ι πρὸς ἀέρα τὰ ὕδατα, διὰ νεφῶν ἀρδεύειν. ἡ δὲ
ἔρημός τε καὶ ἄσπορος ἀναγκαίως ὕεται πρὸς χορηγίαν πηγῶν,
ἔστι δὲ ὅτε καὶ τοῖς παριοῦσιν, ὡς ἂν καὶ αὐτοί γε εὕροιεν
ὑδάτων συστήματα. καὶ ὅλως ἄβροχον γῆν ἡλίῳ φλέγεσθαι
μόνον οὐ νενομοθέτηκεν ὡς ἐπὶ τὸ πολύ. ἢ γὰρ διὰ ποταμῶν
35 ἢ ὄμβρων ἅπασα γῆ πρὸς θεοῦ νοτίδος ἀπολαύει. εἴτε τοίνυν
μὴ βρέχοι, πρόχειρος εἰς βλασφημίαν ὁ ἀνὴρ καὶ οἱ ἐξ ἐκείνου·
εἴτε βρέχοι, οὐκ ἀναχωρεῖ τοῦ μάτην αἰτιᾶσθαι καὶ διαβάλλειν
θεόν. κἂν ἄρτον εἰς χεῖρας λάβωσιν, ἀρῶνται πρῶτον οἱ τῆς
βλασφημίας μαθηταὶ καὶ οὕτως ἐμπιπλῶνται οἱ ἀχάριστοι καὶ

τῆς δημιουργίας οὐδενὸς τὸ ἧττον ἀπολαύοντες ἠκόνηνται μόνοι
κατ' αὐτῆς τὴν γλῶτταν, μᾶλλον δὲ κατὰ τοῦ πεποιηκότος αὐτήν,
καὶ ὡς ἔχθιστοι τοῦ θεοῦ μετέχουσι, καὶ πρὸς αὐτό γε τοῦτο
ἀγανακτοῦντες, ὅτε τῶν ἐκ τῆς δημιουργίας ἐν χρείᾳ καθεστή-
κασι. τήν τε παιδογονίαν ὑβρίζοντες τὰς μίξεις αὐτοῖς ἄνευ 5
γε ταύτης ...... συμβαίνειν, δοῦλοί γε ὄντες τῆς ἀναγκαίας
διαδοχῆς πρὸς θεοῦ νενομοθετημένης, ἀλλ' οὐ τῆς ἡδονῆς,
ἐχθροί γε τὰ πάντα τῆς ἀληθοῦς καὶ γνησίας ἀρετῆς καὶ τῆς
εὐσεβείας ὄντες, ὥσπερ αἰτιώμενοι τὸ ἀείζωον τοῦ τῶν ἀνθρώ-
πων γένους καὶ βουλόμενοι αὐτοῦ που στῆναι τὸν δρόμον τῆς 10
φύσεως, νομοθετοῦντες τῷ θεῷ καὶ ἀγανακτοῦντες πρὸς τὴν ἀγα-
θότητα, δι' ἣν ἀνεξικάκως ἔχει πρὸς τὴν αὐτῶν βλασφημίαν.
καίτοιγε διὰ τοῦτο φυσική τις ἐνέστακται τοῖς σώμασι μίξεως
ὄρεξις ὡς μικροῦ [δεῖ] ἀνάγκῃ τῶν τῆς φύσεως κινημάτων φέρεσθαι
τὰ ζῷα πρὸς τὴν τῆς διαδοχῆς ἐργασίαν ὑπερβαλλούσῃ τοῦ δη- 15
μιουργοῦ σοφίᾳ, καὶ τοῦτο θέντος. ἐπειδὴ γὰρ μοχθηραὶ μὲν
γυναιξὶν αἱ ὠδῖνες, μοχθηραὶ δὲ ἀνδράσι τε καὶ γυναιξὶ τῶν
γιγνομένων αἱ ἀνατροφαί, ἀναγκαῖον δὲ λίαν αἱ διαδοχαί, ἡ μὲν
ὄρεξις φυσικῶς κινεῖται καὶ τρόπον τινὰ βιάζεται, ὁ δὲ λογισμὸς
ὁσίως δέχεται προὐργιαιτέραν τῆς ἡδονῆς ποιεῖσθαι τὴν διαδοχήν. 20
καὶ ἀναίτιος τῶν σωμάτων ἡ ἡδονή, εἴγε λογισμῷ καὶ νόμῳ
τοῦ ποιήσαντος ἀκολουθοίη. οἱ δὲ τὴν ἡδονὴν πολλάκις καρ-
πούμενοι τὸ ἀπ' αὐτῆς ἔργον ἀναγκαίως μισοῦσι καὶ παρεγγυῶσι
παραγγελίαν ταῖς ἐπαγομέναις ἐφαλλομέναις μαγγανείαις τὰς
συλλήψεις [ἐ]κλύειν τε καὶ ῥίπτειν καὶ τοὺς ἐν ὥρᾳ τόκους μὴ 25
ἀναμένειν, ὡς τούτου γε μόνου δεινοῦ καὶ χαλεποῦ τυγχάνοντος,
ἐχθροὶ τῆς φύσεως ἐγηγερμένοι, μᾶλλον δὲ τοῦ ταύτην δημι-
ουργήσαντος, καὶ μανίαν κατὰ τοῦδε τοῦ παντὸς ἐκμαθόντες.
57. καὶ διὰ τί, φασίν, ἐνυπάρχει τοῖς σώμασιν ἡ πρὸς τὰς
μίξεις ἐπιθυμία; πῶς δ' ἂν ὑπέστη τῆς ἐν μέρει γε σωφροσύνης 30
τὸ κάλλος ἐν ἀνθρώποις, εἰ μὴ φύσει μὲν ἦν τὸ ἐρεθίζον, λο-
γικῷ δὲ κατεχόμενον; ποῦ δ' ἂν ἦν παρθενία παρὰ γυναιξὶν ἢ
παρ' ἀνδράσιν ἀπειρογαμία, τὴν κοινὴν σωφροσύνην παρευδοκι-
μοῦσα, εἰ μὴ λογισμὸς καὶ τὸ πρὸς ἁγιωσύνην φίλτρον εἶχεν;
ὅ γε τοῖς φυσικοῖς προσπαλαῖον νικηφόρους ἀναδείξει τοὺς καλῶς 35
τὴν ἔμφυτον ἐπιθυμίαν βιαζομένους, οὐ πρὸς ὕβριν τῆς φύσεως,
ἀλλὰ πρὸς ἄσκησιν καρτερίας τε καὶ ἁγιωσύνης. **58.** οὕτω δὴ
τροφαῖς τε καὶ πόμασιν ἐνηδόμεθα, οὐ διαβεβλημένην ἡδονὴν
καρπούμενοι (φυσικὴ γὰρ καὶ αὕτη) καὶ ὅμως νηστείαις δια-

γυμναζόμεθα, οὐ κατὰ τῆς φύσεως μελετῶντες τὸ ὑπὲρ φύσιν, ἀλλὰ καρτερίαν μὲν ἀσπαζόμενοι, διὰ δὲ ταπεινώσεως τὸν θεὸν ἐξιλεούμενοι. οὐκ ἂν δὲ νηστείας ἄσκησιν μετήλθομεν, πείνης ἐν τῷ σώματι μὴ ἐνούσης. πανταχοῦ τοίνυν ἡ ὄρεξις προξενεῖ
5 καὶ τῆς συμμέτρου χρήσεως καὶ τῆς κατὰ δύναμιν ἀποχῆς τὴν εὐδοκίμησιν. οὐ γὰρ τῶν κατὰ φύσιν ἡ χρῆσις ποιεῖ τὴν ἁμαρτίαν. οἴνου γὰρ τὸ μέτριον εἴη μὲν σωτήριον, μέθης δὲ τὸ κακὸν διὰ τῆς ἀμετρίας εἰσάγεται. παραπλησίως δὲ καὶ τροφῆς τῆς κατὰ φύσιν ἐμμέτρου ἀναίτιος ἡ χρῆσις, γαστριμαργία δὲ
10 τῷ ὑπερβάλλοντι παράλογος ἐλέγχεται. οὕτω δὴ καὶ τῆς πρὸς τὰς μίξεις ὀρέξεως ἡ μὲν νόμιμος χρῆσις καὶ μέτρα γινώσκουσα ἀνέγκλητος παντελῶς, ἡ δὲ παράνομός τε καὶ ἄμετρος τῆς ἀκολασίας προσάγει τὸ ἔγκλημα. **59.** μηδὲν τοίνυν τῷ λογισμῷ μήτε ὁ Μάνης καθεωρακὼς μήτε οἱ ἐξ ἐκείνου, πάντα φέροντες
15 μανικῶς καθύβρισαν ὡς πάσης ἐπιθυμίας οὔσης κακῆς, ἧς τὸ μέτρον μὲν νομίμως ἀναίτιον, ἡ δὲ κατὰ δύναμιν ἀποχὴ καὶ θαυμασίας γε ἀρετῆς εὐδοκίμησις. εἰ γὰρ ἀπεχόμενός τις ἐπαινετὸς παρὰ θεῷ, οὐ κακῶς γε ἐκεῖνο τῇ ἐξουσίᾳ παράκειται, οὗγε ἡ ἀποχὴ τελείας ἀρετῆς κατόρθωμα· ζημία γὰρ ἦν, εἰ
20 μὴ παρέκειτο ἡ ἀνωτάτω, ὡς οὐ κενὸν διὰ τῆς ἀποχῆς ἀγαθὸν ἀποφανθῆναι. ἄνευ γὰρ τοῦ μὴ ποιῆσαι τοὐναντίον, ἐξὸν ποιῆσαι τὸ κακόν, οὐκ ἔνι τοὐναντίον πεποιηκέναι δοκεῖν τὸ ἀγαθόν, ὡς πολλάκις ἐδείξαμεν. **60.** ὁ δὲ Μάνης τἀγαθόν τε καὶ τὴν ἀρετὴν ἀτιμάζει, τὴν ἐξουσίαν καὶ τὸ ἐλεύθερον κακίζων. οὐκ
25 αἰσχύνεται δὲ καὶ τοὺς λίθους ἐψυχῶσθαι λέγων καὶ τὰ πάντα ἔμψυχα (καὶ τὰ σαφῶς ἄψυχα) εἰσηγούμενος· ὡς ἀπ' ἐκείνης δὴ τῆς τοῦ ἀγαθοῦ δυνάμεως ἔτι καὶ ἐν λίθοις κατεχομένης τοσοῦτον κατάγει τὸ παρ' αὐτῶν τιμώμενον εἰς ὕβριν τε καὶ εὐτέλειαν, ὥστε τὴν φύσιν τοῦ ἀγαθοῦ καὶ ἐν λίθοις ἀψύχοις
30 φάσκειν πεπεδῆσθαι· ἅπερ οὕτως ἔχειν διισχυρίζεσθαι ποίας ἂν τις φήσειε μανίας εἶναι τεκμήριον; εἰ γὰρ καὶ ἐν λίθοις κατέχεται τὸ παρὰ τοῦ ἀγαθοῦ πεμφθέν, ἤδη νενίκηκεν ἡ κακία τοὐναντίον δεδεμένου τοῦ δῆσαι παραγενομένου. καὶ ποιεῖται τεκμήριον τῆς τῶν λίθων καὶ τῶν ξύλων ψυχῆς τὸν ἐν ἀέρι κτύπον λίθου
35 τε καὶ ῥάβδου, ὥσπερ ἐνάρθρου φωνῆς αὐτῶν πώποτε διακούσας. ἔστι δὲ καὶ παρ' ἡμῖν τὸ μὲν ἐνθύμημα καὶ ὁ λόγος τῆς ψυχῆς οὐδαμῶς ἀκουόμενον, τὸ δ' ἐξάκουστον, ἀέρος πληττομένου διὰ τοῦ σωματικοῦ ὀργάνου· ὅπερ δίχα τῆς λογικῆς κινήσεως καὶ ἐπὶ τῶν ἀλόγως εὕροι τις ἂν βοώντων μέν, ἄναρθρα δέ, ἐπειδὴ

λόγου ἐστέρηται. ὡς παντὸς σώματος, κἂν ἄψυχον ᾖ, οἰκεῖόν ἐστι τὸ ἦχον ἐμποιεῖν τῇ πρὸς τὸν ἀέρα πληγῇ· τὸ γὰρ ἀσώματον οὐκ ἂν ἐξάκουστα φθέγξαιτο. ἀέρα γὰρ οὐ πλήττει, ὀργάνου τοῦ πλήττοντος ἀπηλλαγμένον, ἐπείτοι αἱ ἀσώματοι δυνάμεις ἄψυχοί γε δόξουσιν ἄν, ἐπειδὴ ἐξάκουστον παρ' αὐτῶν 5 οὐδὲν εἰς ἡμᾶς ἀφικνεῖται. ὅπερ τοίνυν ἐχρῆν τεκμήριον ποιήσασθαι τῶν παντελῶς ἀψύχων ὡς κτυπούντων ἐξ ἀνάγκης εἰς ἀέρα (τοῦτο γὰρ μόνου σώματος, οὐχὶ δὲ ψυχῆς), τοῦτο ψυχώσεως σημεῖον ἔλαβεν. **61.** ἐντεῦθεν δὴ καὶ τὰ τετράποδα καὶ τὰ πετεινά, ὅσα χρήσεις ἀνθρώποις ἔχει τροφῆς, βαρέως αἰτιᾶται 10 τοὺς θύοντας, ὡς ἐκείνης τῆς δυνάμεως τοῦ ἀγαθοῦ καὶ ταῦτα ψυχούσης καὶ ἐν αὐτοῖς κατεχομένης, ὥσπερ σπουδάζων καθυβρίσαι παντοίως ὃν ἀγαθὸν δῆθεν ἀποκαλεῖ. ἐρωτητέον δή, τίνος ἐπιτροπῇ ταῦτα ἀνθρώποις ἐξ ἀρχῆς εἰς τροφὴν παραδέδοται; ἆρά γε τῆς κακίας ὡς ὑβριζούσης τὸ ἀγαθόν; ἀλλ' οὐκ ἄν γε 15 ἐκείνη τοσοῦτον συνεῖδε πρᾶγμα γνῶσιν μὴ κεκτημένη. οὐ γὰρ ἄλλος δημιουργὸς ἂν εἴη οὐδὲ δημιουργήσας ἐστίν, ὥς φησίν, [ἢ] ὁ θεός, καὶ τὴν δύναμιν ἐκ τῆς ἰδίας φύσεως προβαλλόμενος ἐπὶ σωφρονισμῷ τῆς ὕλης. συνέστη τοίνυν τὰ ζῷα σύμπαντα βουληθέντος τοῦ δημιουργήσαντος, τά τε εἰς τροφὴν ἀνθρώποις ἐπι- 20 τήδεια καὶ τὰ μή. ἐπέτρεψεν ἄρα οὐδεὶς ἕτερος ἢ ὁ ποιήσας ἀνθρώποις εἶναι ταῦτα τροφήν. οὐ γὰρ ἂν ἐπέγνω καθ' ὅλου ἡ φύσις τὸ χρήσιμον ἑαυτῇ, μὴ οὕτω νομοθετήσαντος τοῦ πεποιηκότος αὐτήν. αὐτίκα καὶ πλοῦτος φύσει ταῦτα γεγένηται, ὡς μηδέποτε τῆς αὐτῶν χρήσεως διαλειπούσης. καὶ ὅσῳ γε μᾶλλον 25 ἔνια τῇ χρήσει δαπανᾶται, τοσούτῳ πλέον πολυγονώτερα τυγχάνει. καὶ τὰ μὲν τρέφει μόνον ἀνθρώπους, τὰ δὲ καὶ ἐνδύει, ἄλλα δὲ καὶ ἄλλας χρήσεις παρέχει, δοῦλα φύσει πρὸς τοῦ δημιουργήσαντος ἀνθρώπῳ κατεσκευασμένα· ὅθεν καὶ ὑποτέτακται καὶ τὰ μεγάλα τῷ ὄγκῳ πράως εἴκοντα καὶ τὰ ἐν ἀέρι 30 τέχνῃ τοῦ λογισμοῦ καθελκόμενα καὶ τὰ ἐν ὕδασιν ἀναγόμενα, καὶ μᾶλλον ἐκεῖνα, ὅσα γε τὸ χρήσιμον ἀνθρώποις ἀποπληροῖ. οὕτω δῆλον ὡς οὐκ ἄνθρωποι ἑαυτοῖς ἐβιάσαντο παρὰ τὸ βούλημα τοῦ δημιουργήσαντος τὰ ἄλογα, ἀλλὰ καὶ νόμος αὐτοῖς ὑπέταξε τοῦ ποιήσαντος ταῦτα. **62.** φαίη δ' ἂν ὁ Μάνης ὡς 35 οὐδὲ βοῦν εὐσεβὲς ἀρόσει παραβεβλῆσθαι τῆς γῆς, ἵνα μὴ καὶ πάνυ καταδουλοῦσθαι δόξειεν ἡ πρὸς τοῦ ἀγαθοῦ πεμφθεῖσα ψυχή. καὶ πῶς ἂν γεωργία συσταίη; πῶς δ' ἂν τὸ γένος παραμείνειε τὸ τῶν ἀνθρώπων διαγινόμενον; οὕτω παρὰ τοὺς

κοινοὺς λογισμοὺς πάντα κατὰ τῆς δημιουργίας ὁ παντοίως μα-
νεὶς ἐπλάσατο. δοῦλα γὰρ φυσικῶς ἀνθρώπου τὰ ἥμερα ζῷα
γεγένηται καὶ τῇ τούτου χρήσει παραβέβληται, δοῦλα δὲ καθ'
ἕτερον λόγον καὶ τὰ ἀνήμερα πρὸς τῇ ῥηθείσῃ αἰτίᾳ, ὥστε λο-
5 γισμῷ τὸν ἄνθρωπον πάντων τῶν ἀλόγων κρατιστεύειν. θεοῦ δὲ
ἐπιτρέποντος διὰ ποικίλας αἰτίας οὐ λέων μόνον, τὸ ἀλκιμώ-
τατον θηρίον, ἤ τι τῶν ἄλλων θηρίων ἢ ἑρπετῶν ἀνθρώπου
κρατήσειεν ἄν, ἀλλὰ καὶ κώνωψ ἤ τι τῶν ἄλλων βραχυτάτων
περιγένοιτο· πλὴν θηρίων φύσις καὶ ἄλλως τὸν εἰρημένον τρόπον
10 εἰς ὄψεις (ἔστιν ὅτε καὶ εἰς πεῖραν) ἀνθρώποις κατὰ διαφόρους
αἰτίας ἀναγκαία. **63.** ἀλλ' ἐπειδὴ πρὸς ἕκαστον ὧν ἐκεῖνος
ἀδολεσχεῖ τε καὶ πλάττεται λῆρος ἂν δόξειεν εἶναι τὸ λέγειν
τε καὶ ἀπαντᾶν, θεωρητέον καὶ δίχα λόγου τῷ κεκτημένῳ σύ-
νεσιν, ὅπως μὲν ἑνὸς ἥρμοστο λόγῳ τὰ σύμπαντα, εἷς δὲ νόμος
15 τοῦ δημιουργοῦ κατὰ πάντων κρατεῖ καὶ οὐδὲν ἐν τοῖς οὖσι
διαμάχεται οὐδὲ πολέμου τεκμήριον ἢ διχονοίας ἐν τοῖς δημι-
ουργήμασιν ὑποφαίνεται, ἀλλ' εἰρηνεύει, θεοῦ γε συμπλέκοντος
τὰ πάντα πρὸς ἄλληλα ὡς ὑφ' ἑνὸς λαβόντα τῆς εἰρήνης καὶ
τῆς ἡσυχίας τὸ σύνθημα, παρ' οὗ καὶ τὸ εἶναι τὴν ἀρχὴν τού-
20 τοις ὑπῆρξε. συμπνεῖ τε γὰρ τοῖς ἐπὶ γῆς πράγμασιν οὐρανὸς
ὕων, ὅταν καιρὸς ἀπαιτῇ, καὶ αὖθις ἀνέχων τὸν ὑετόν, ὅταν δέῃ
θερμότητι μόνῃ τελεσφορεῖσθαι τὰ φυτά. ἥλιος δὲ μεταβαίνων
νόμῳ τοῦ ποιήσαντος τὰς ὥρας ἐργάζεται, ἐναλλάττων οὐδέποτε
ταύτας, μίαν δὲ τὴν τάξιν αὐτῶν ἀπαράβατον δεικνύων. καὶ
25 ἐμμένει γε τῇ φύσει τὸ διάφορον, μία δὲ καὶ ἡ αὐτὴ φαίνεται
σύμπνοια τῶν ἄνω τε καὶ τῶν κάτω πρὸς ἀκρίβειαν. νὺξ δὲ
πρὸς ἡμέραν ἀστασίαστος διέμεινε τὸν αἰῶνα σύμπαντα, οὐκ
ἀλόγῳ φορᾷ τὴν διαδοχὴν πρὸς τὴν ἡμέραν ἔχουσα, ἀλλὰ σοφίᾳ
τοῦ δημιουργοῦ, προσθήκαις τε καὶ ἀφαιρέσεσι μετρουμένη καὶ
30 οὐδὲ ταύταις ἄλλοτε ἄλλως, ἀλλὰ δῆλος μὲν τῆς προσθήκης δῆλός
τε τῆς ἀφαιρέσεως ὁ καιρός. αὖθις δὲ ἥλιος οὐ βαρύνεται τῆς
νυκτὸς τὴν διαδοχὴν οὐδὲ ὕβριν ἡγεῖται τὸν νόμον τοῦ δημιουρ-
γήσαντος, ἀλλ' ἀγαθοῦ δούλου τρόπον τελέσας ἀπνευστὶ τῆς
ἡμέρας τὸν δρόμον, ἀναχωρεῖ γε ᾗ νόμος αὐτῷ, σπουδῇ κρυ-
35 πτόμενος, ὡς ἂν τὸ οἰκεῖον μέτρον ἡ νὺξ ἀπολάβῃ. τί δ' ἂν
εἴποις περὶ γῆς τε καὶ θαλάττης, ὡς ἕκαστον αὐτοῖν ὅρῳ τινὶ
περιγέγραπται; ἀλλ' ἔστιν ἰδεῖν τὴν θάλατταν κυρτουμένην μὲν
τοῖς κύμασι, νόμου δὲ τῆς ἐφόδου κωλυομένην, καὶ ὑπὸ μὲν
πνευμάτων βιαίων κατὰ γῆς ὠθουμένην, φόβῳ δὲ τοῦ νόμου

αὶς τοὐπίσω ἀνακλωμένην, καίτοιγε οὐκ ἀδαμάντινον τεῖχος αὐτῇ βοηθεῖ πρὸς τὸ μὴ ῥεῦσαι κατὰ τῆς γῆς καὶ ἀπειθῆσαι αὐτῷ τῷ ποιήσαντι, ἀλλ' ἀρκεῖ περίβολον εἶναι τῇ γῇ πρὸς τὴν θάλατταν ὁ λόγος τοῦ ποιήσαντος, καὶ ψάμμος κατέχει, μᾶλλον δὲ νόμος ἐπέχει καὶ βίαν τῶν ἔξωθεν πνευμάτων καὶ ῥύσιν ὑδάτων, 5 ὥστε καὶ μηδὲν τῆς γῆς κατακλυσθῆναι καὶ φίλα γε εἶναι ὡς ἀλλήλοις ἀδελφὰ [τὰ] δημιουργήματα, ἕνα πρὸς ἀλήθειαν τὸν δημιουργὸν ἐπιγραφόμενα. **64.** τίς γὰρ ἱστόρησε πώποτε ὡς ἐν οὐρανῷ μὲν ἀστὴρ ἀστέρι ἐπανέστη, ἐπὶ γῆς δὲ ζῷα ἑτέρῳ γένει διεμαχέσατο, ὡς ἐξαλεῖψαι τοῦτο ἢ τοὐναντίον ἐξαλειφθῆναι; 10 ἀλλὰ καὶ ὅσα ἄλλο ἄλλῳ ἔπεισι, καὶ ταῦτα σοφίᾳ τοῦ δημιουργοῦ νενομοθέτηται τὸ πλεονάζον αὐτῶν παραναλίσκειν, ὧν καὶ τὸ εἶναι καὶ τὸ δαπανᾶσθαι ὑπὲρ ἀνθρώπων ἑκάτερα. **65.** εἰ δέ τις ἔλθοι τῷ λόγῳ καὶ πρὸς αὐτὰς τῶν σωμάτων τὰς ἀρχάς, καὶ τέτταρα μὲν στοιχεῖα κατίδοι, τῇ δ' ἐναντιότητι πρὸς συμφωνίαν 15 κεραννύμενα, πλέον ἂν ἐκπλαγείη τῶν ὄντων τὴν συμφωνίαν ὡς ἀφ' ἑνός γε ἐχόντων καὶ μόνου τὸ εἶναι. τούτοις γὰρ ἡ ἐναντιότης φιλίας ἀφορμὴ καὶ τὸ μαχόμενον τῆς φύσεως αὐτοῖς εἰρήνης τῆς ἀνωτάτω παραίτιον· ἃ δὴ τέσσαρα μὲν ἐστὶν ἀριθμῷ, ἓν δὲ συνερχόμενον, μᾶλλον δὲ καὶ ἀλλήλων ἐπιδεόμενα πρὸς 20 τὸ εἶναι, καὶ αὐτῇ γε τῇ ἐναντιότητι ἀλλήλοις ἐπικουροῦντα καὶ ἐν ἀλλήλοις κρυπτόμενα καὶ δι' ἀλλήλων φαινόμενα. μικρὸν μὲν οὖν εἰπεῖν ὡς οὐκ ἐψύγη τὸ θερμὸν ὑπὸ τοῦ ψυχροῦ οὐδὲ ἐσβέσθη ὑπὸ τοῦ ὑγροῦ οὐδὲ κατεφλέχθη μὲν τὸ ξηρὸν ὑπὸ τοῦ πυρός, κατελύθη δὲ ὑπὸ τοῦ ὑγροῦ. σύστασις γὰρ ἀλλήλων 25 ταῦτα καὶ ἀλλήλοις θαυμασίως ἐνδιαιτοῦται. καὶ δόξαι ἂν πῦρ μόνον ὄν, οὐ μέντοι δίχα ὑγροῦ καὶ ξηροῦ, οἷς γε τρεφόμενον διαλάμπει, ὥσπερ καὶ τὰ ἄλλα ἀλλήλοις ἔνεστιν, ἁφῇ μόνον ἐμφαίνοντα τὴν ἐναντιότητα, οὕτω μέντοι φιλάλληλα ὡς οὐδεμίαν διαφωνίαν ἔχειν δοκεῖν. ταῦτα δὲ τὴν ἄρρητον σοφίαν 30 κηρύττει καὶ σιωπῶντα τοῦ ἑνὸς ἀγενήτου, ὑφ' οὗ δὴ καὶ γενόμενα συνεκράθη. οὐ γὰρ δὴ σῶμα γένοιτ' ἂν ἐξ ἑνός τινος καὶ ἁπλοῦ στοιχείου. κράσει γὰρ συσταίη ἂν σῶμα· ποία δὲ κρᾶσις ξηροῦ καὶ μόνου; ποία ὑγροῦ, εἰ καθ' ἑαυτὸ τυγχάνει; οὐκοῦν ἀναγκαία ἡ ποικιλία πρὸς τὴν ἑνὸς σώματος κρᾶσιν, ἀναγκαία 35 δὲ ἡ τούτων ἐναντιότης ἐπειγομένη πρὸς ἑνότητα εἰς θαῦμα τοῦ δημιουργήσαντος· ἅτινα οὐ πρῶτον καθ' ἑαυτὰ συνέστη καὶ οὕτως συνῆλθεν, ἀλλὰ τὴν γένεσιν σὺν ἀλλήλοις λαβόντα καὶ ἅμα γενόμενα ταῖς αἰσθήσεσι διεκρίθη. σώματος γὰρ ὑποστάντος

καὶ λόγος καὶ νοῦς διέκρινεν αἰσθήσει τὰ συνημμένα, ὥστε τούτων ὕστερον ἡ ἐναντιότης ἐφωράθη τῇ αἰσθήσει τοῦ γενομένου σώματος ὅπερ ἐξ αὐτῶν ἐκράθη, οὐ προλαβόντων αὐτῶν πρὸς τὸ εἶναι, ἀλλὰ σύνδρομον αὐτῷ τὸ εἶναι λαβόντων. **66.** τίς
5 ἂν πρὸς ἀξίαν θαυμάσειε τήν τε δύναμιν τοῦ δημιουργοῦ καὶ τὴν συμφωνίαν τῶν γινομένων, ὡς ἄμαχα καὶ εἰρηναῖα τὰ πάντα, πλήν γε ἀνθρώπων ἀδικίας. ε[ἱ]στήκει οὖν ἡ δημιουργία σύμπασα, κινουμένη μὲν τὴν ἰδίαν καὶ εὔτακτον κίνησιν, ἀκίνητον δὲ διατηροῦσα τὸν ἐφ' ἑαυτῇ τοῦ πεποιηκότος νόμον. καὶ τίς
10 ἂν ἕλοιτο, εἰ τὰς αἰσθήσεις ὑγιαίνοι τῆς ψυχῆς, τούτων οὕτως ἐχόντων καὶ ἔτι ἀναριθμήτων ἄλλων, ἃ πάντα νοῦν ὑπερβαίνει, ἄλλην μὲν ἀρχὴν τῷ λόγῳ πλάσαι, ἀντεγεῖραι δὲ ταύτην ἀπ' ἐναντίας τοῦ μόνου ἀγενήτου θεοῦ; σύμφωνον μὲν γὰρ καὶ ἀπαράλλακτον ἀρχὴν ὀνειροπολῆσαι περιττόν, τῆς μιᾶς ἀρκούσης·
15 ἐναντίαν δὲ ὑποπτεῦσαι πάντῃ μανικόν, τῶν ὅλων συμφωνούντων καὶ ποικιλίᾳ μὲν κεκοσμημένων, σοφίᾳ δὲ τοῦ ποιήσαντος τὸ χρηστὸν καὶ τὸ γαληνὸν μετ' ἐμβριθείας ἐμφαινόντων, ὡς ἅπασα μὲν χρηστότης ἄκρατος λίαν, ἐπιβλαβής τε καὶ ἄλογος, ἐμβρίθεια δὲ καὶ αὐστηρότης καθ' ἑαυτήν, χρηστότητος ἀμοιροῦσα,
20 πρὸς ἀγριότητα καὶ ἀπανθρωπίαν ὁρᾷ· ἑκάτερα δὲ παιδεύει τε καὶ ἡδύνει, τέρπει τε καὶ ἐκφοβεῖ, ἐπαγγέλ[λ]εται χρηστότητα καὶ ἀπειλεῖ φοβερά, προτείνει δώρων ἐλπίδα καὶ παραδείκνυσι τιμωριῶν κίνδυνον, ὡς ἂν ὁ λογισμὸς τῶν ἐπὶ γῆς πολιτευομένων μήτε χαυνότητι τῶν ἡδέων καταβαπτισθῇ πρὸς ἄμετρον ῥᾳστώνην
25 μήτε ἀδιαλείπτῳ δέει τῶν φόβων διεκπλαγεὶς πηρωθῇ, ἀλλ' ἑκατέρωθεν μετρίως παιδαγωγηθῇ πρὸς εὐλάβειάν τε καὶ ἀρετήν.

Γ.

1. Τὰ μὲν οὖν ἔμπροσθεν ἔκ τε τῶν πραγμάτων αὐτῶν καὶ τῶν κοινῶν ἐννοιῶν εἰρημένα πάντων ἂν ἴσως καὶ τῶν ἐκτὸς
30 τῆς ἐκκλησίας τὸν νοῦν ἀσφαλίσαιτο μηδαμῶς προσίεσθαι τοῦ μανέντος τὴν κατὰ τοῦ δημιουργοῦ τῶν ὅλων βλασφημίαν, ἐπειδὴ δὲ θήραν ἑτέραν κατὰ τῶν ἀπὸ τῆς ἐκκλησίας μεμελέτηκε δεινήν τε καὶ χαλεπήν, ῥήσεις τινὰς τῶν ἁγίων γραφῶν ἐκβιαζόμενος πρὸς τὴν αὐτοῦ ψευδολογίαν, ὥρα δὴ καὶ τοὺς ἀπὸ
35 τῶν θείων γραφῶν ἐλέγχους κατ' αὐτοῦ κινῆσαι πρὸς ἀσφάλειαν τῶν πιστευόντων, ταῖς ἀλλοκότοις καὶ λίαν ἀπιθάνοις ἑρμηνείαις ἔστιν ὅτε πρὸς τῶν ἐκείνου πλανωμένων. ποικίλως γὰρ μεθοδεύων ἣν ἐπενόησε συνεργείᾳ τοῦ διαβόλου πλάνην, ἰσχύειν ἐπιχειρεῖ. παρ' Ἕλλησι μὲν οὐ τὰ ἐκείνων ἀνατρέπων, τὰ δὲ ἐλάττω κακὰ

πρὸς μείζονα ἀσεβείας ὄγκον ἐξαίρων, κακοηθέστερον ἑλληνισμὸν ἐφηγεῖται, οἷς σχεδὸν πρὸς ἅπασαν συμπεριαγόμενος φάσιν ὁμοδοξίᾳ κακῶν καὶ σφαλερῶν μαθημάτων τὴν προσθήκην τῶν ἑαυτοῦ πλασμάτων παρεμβάλλει — παρὰ δὲ χριστιανοῖς τὰ χριστιανῶν δῆθεν μετιὼν καὶ πιθανότητι ὀνόματός τε χριστοῦ καὶ ῥημάτων 5 τῆς γραφῆς ἐπιεικείας ἐμφάσει τὸν μὲν λύκον (ὅπερ αὐτός ἐστιν) ἔνδοθεν σκέπων, τὸ δὲ κώδιον ἔξωθεν περιτιθέμενος, ἀπάτη ἀστέρος τῷ ποιμνίῳ γίγνεται, καὶ οὕτω δὴ τοὺς ἧττον ἔμφρονας καταλάμπει. καὶ δὴ προθέμενος καινοτάτην ἀσέβειαν ἐρανίσασθαι παρ' ἑαυτοῦ τε καὶ παρ' ἄλλων, ὡς ἂν μηδεὶς τῶν χριστὸν 10 ἐπεγνωκότων ἐξετάζειν γοῦν ἐπιχειροίη τὴν καινότητα τῶν ἠρανισμένων ὑπ' αὐτοῦ κακῶν, παράκλητον προσεῖπεν ἑαυτόν, ὀνόματος οὐχ ὑπὲρ ἄνθρωπον μόνον, ἀλλὰ καὶ ὑπὲρ ἄγγελον χρήσει τὸ ἀπατηλὸν σκέπων, ἵνα τῷ ἀξιοπίστῳ τῆς προσηγορίας ἀδιακρίτως οἱ καὶ ἄλλως ἀνόητοι δέχωνται τὰ λεγόμενα. ἔστι δ' 15 ὅτε καὶ ὡς ἀπόστολος Ἰησοῦ χριστοῦ βαρβάροις τὸ γένος ὁ βάρβαρος καὶ γένος καὶ γνώμην τὴν ἀσέβειαν ἐπιστέλλει. καὶ περὶ μὲν τούτων ὕστερον. **2.** τῶν δὲ γραφῶν τὰς μὲν παλαιοτέρας ἀνατίθησι τῇ πρὸς αὐτοῦ λεγομένῃ κακίᾳ, νόμον τε καὶ προφήτας, τὰ δὲ εὐαγγέλια καὶ τὰ λοιπὰ τῆς καινῆς διαθήκης 20 μαθήματα παρὰ μὲν τοῦ ἀγαθοῦ (ὡς οἴεται) δεδόσθαι φησίν, οὐδὲ ταῦτα μὴν ὁ τῆς βλασφημίας εὑρετὴς διισχυρίζεται δι' ὅλου καθαρεύειν τοῦ (ὥς φησίν) ἐναντίου θεοῦ, ἐνυπάρχειν δὲ καὶ τούτοις (ὥσπερ κατά τινα μῖξιν) πολλὰ τῆς ὑπ' αὐτοῦ καλουμένης ὕλης καὶ χρῆναι ταῦτα περιελόντα μόνα καθ' ἑαυτὰ 25 καταλιπεῖν, ἃ τῇ τοῦ ἀγαθοῦ μερίδι λογίζεται. οὕτω τῶν ἁγίων γραφῶν τὴν διόρθωσιν (ὡς οἴεται) καθ' ἑαυτὸν μεταχειριζόμενος καὶ διὰ τοῦτο μάλιστα τολμῶν παράκλητος εἶναι δοκεῖν, τὰ μὲν πλείονα περιγράφει, βραχέα δὲ καταλιπὼν καὶ τῆς καινῆς διαθήκης ποθοῦντα τῶν συγγενῶν λόγων τὴν συμφωνίαν, οἴεται μὲν 30 πᾶσαν ἀσφάλειαν περιτεθεῖσθαι ὡς μόνα δὴ τὰ δυνάμενα προσέλκεσθαι πρὸς ἃ τερατεύεται καταλελοιπώς, οὐδὲν δὲ ἧττον καὶ ταῦτα σαφῶς αὐτοῦ διελέγχει τὴν ἄμετρον μανίαν, ὡς, ἐπειδὰν περὶ αὐτὰ γένηται, θεοῦ παρέχοντος δείξει σαφῶς ὁ λόγος. **3.** δεικτέον δὲ πρῶτον, ὅπως ἄλογον ποιεῖται τὴν κατὰ 35 τῶν ἀρχαιοτέρων ἁγίων γραφῶν βλασφημίαν, παλαιοτέροις μὲν αὐτοῦ πονηροῖς ἀνδράσι καὶ τῆς ἐκκλησίας ἀποκηρυχθεῖσι κατὰ τοῦτο συνενεχθείς, τῇ δ' ἀσεβείᾳ πάντας ἐκείνους ὑπερβαλλόμενος. εἰ μὲν οὖν, καθάπερ Ἕλληνες ἀπιστοῦσι παντελῶς

ταῖς ἱστορίαις τῶν γραφῶν, οὕτω δὴ κἀκεῖνος ἀπιστῶν ἔφασκε μηδαμῶς ἢ ὡς ἔτυχε τὰ αὐτόθι ἱστορούμενα γεγονέναι, οὔτ' ἂν ἡμεῖς τι πρὸς αὐτὸν περὶ τούτων ἐκινοῦμεν οὔτ' ἂν αὐτὸς μείζω τὸν ἔλεγχον διὰ τούτων ὑπέμεινεν. ἐπεὶ δὲ τὴν μὲν
5 ἀλήθειαν αὐτοῖς τοῦ ὄντως γεγονέναι προσομολογεῖ, αἰτίαν δὲ τούτων εἶναι τὴν μὴ οὖσαν κακίαν φησίν, φέρε καὶ νῦν ἀποδείξωμεν, ὅπως τὰς μεγάλας ἐνεργείας ἀνατίθησι καὶ τὰ μείζω θαύματα τῇ διαβαλλομένῃ πρὸς αὐτοῦ κακίᾳ, μὴ νοῶν (ἅτε δὴ τὸν λογισμὸν τυφλώττων) τὰς παραδόξους ἐν ταῖς ἱστορίαις τοῦ
10 θεοῦ, τοῦ δημιουργοῦ τῶν ὅλων, οἰκονομίας. **4.** φησὶ δὲ πρὸς λέξιν αὐτὴν ἐκεῖνος ἢ ἕτερός τις τῶν ἀπ' ἐκείνου, ἐπιγράψας τὸ κεφάλαιον περὶ τῆς ἀνθρωπίνης πρωτοπλαστίας· **5.** ἐπειδὴ γὰρ ἔγνωσαν οἱ ἄρχοντες ὡς ἐκ τοῦ παραιρεῖσθαι τὸ ἅπαξ ἁπλῶς ἐμπῖπτον εἰς αὐτοὺς μέρος τοῦ φωτὸς ταχὺς ἐπ' αὐτοὺς ὁ θάνα-
15 τος ἥξει, τὴν εἰς τὰ σώματα τῆς ψυχῆς κάθοδον ἐμηχανήσα[ν]το, ἀναδραμεῖν μὲν αὐτὴν μηδ' ὅλως ζητοῦντες, ἀνελθοῦσαν δὲ μηδὲ τῆς ἄνωθεν λήξεως ἀξίαν εὑρίσκεσθαι, μιάσματα τῆς σαρκὸς ἀνεχομένην. καὶ μετ' ὀλίγα· δι' ὃ ἕκαστος αὐτῶν (φησί) τῶν τῆς ὕλης ἀρχόντων ὃν τρόπον προείπομεν τῆς γενομένης
20 κινήσεως ἕνεκεν καὶ τοῦ φανέντος πρῶτον ἐπὶ τὴν λύτρωσιν τῆς ψυχῆς, τῆς θύρας πρῶτον ἀνοιγείσης ὑπ' ἐκπλήξεως ...... ἄκων καταπέμψας τὴν ἐν αὐτῷ δύναμιν ἐμόρφωσεν ἑαυτὸν εἰς θήραμα τῆς ψυχῆς καὶ μίμημα αὐτοῦ ἔπλασεν ἐπὶ τῆς γῆς, οὗ δυσαποσπάστως ἔχειν ἠνάγκασεν τὰς ψυχὰς κατακηλουμένας. καὶ
25 πλάσμα αὐτῶν ἐστι πρῶτον ὁ Ἀδάμ, ὄργανον ἐπιθυμίας καὶ δέλεαρ τῶν ἄνωθεν ψυχῶν καὶ μηχάνημα τοῦ αὐτὰς εἰς σώματα ἐμπίπτειν. **6.** σκοπητέον μὲν δὴ πρῶτον ὅσην σοφίαν προσμαρτυρεῖ τοῖς ἄρχουσιν (ὡς οἴεται) τῆς ὕλης, ἣν ἐπ' ἀγνοίᾳ πάντη κακίζει, ὡς, ἵνα μὴ ἀφαιρεθῶσι τοῦ προσμιγέντος αὐτοῖς
30 φωτὸς μεμηχανημένοις διὰ σαρκὸς τὴν εἰς αὐτοὺς κάθοδον τῆς ψυχῆς, ἀναδραμεῖν μὲν αὖθις αὐτὴν οὐκ ἐῶντες, εἰ δὲ καὶ ἀναδράμοι, ἀναξίαν ἀποφαίνεσθαι τῶν ἄνω, μεμιασμένην σαρκί, ὡς ἀδύνατον εἶναι πάντη τῷ ἀγαθῷ τὴν παρ' ἑαυτοῦ ψυχὴν ὁλόκληρον διασώσασθαι, ταῖς μηχαναῖς τῶν ἀρχόντων τῆς ὕλης ἡττωμένην.
35 καὶ περὶ μὲν τούτων ἔτι καὶ λέγειν πῶς μὴ γέλως ᾖ; ἐπεὶ δὲ φησὶν ὅτι πλάσμα πρῶτόν ἐστι τῶν ἀρχόντων τῆς ὕλης ὁ Ἀδάμ, ὄργανον ἐπιθυμίας καὶ δέλεαρ τῶν ἄνωθεν ψυχῶν, τέως μεμαθήκαμεν ὅτι σαφῶς πεπλάσθαι πρὸς τῆς μὴ οὔσης ὕλης τὸν ἄνθρωπον λέγει ὁ πανταχοῦ τῇ ὕλῃ καὶ τῇ κακίᾳ τὸ πλέον

νέμων προσποιήσει διαβολῆς, καὶ νῦν δὴ ἄνθρωπον αὐτὴν πεποιηκέναι λέγει, τὸ βασιλικώτατον καὶ ἀρχικώτατον πάντων δὴ τῶν ἐν τῷ σωματικῷ κόσμῳ ζῴων, ἅτε δὴ μόνον λογικὸν ὑπάρχον καὶ θαυμάσιον τῷ τε λογισμῷ τῆς φύσεως καὶ τοῖς ἐπιτηδεύμασιν. **7.** ἐπαπορῶν μὲν δὴ καὶ περὶ τοῦ παντὸς κόσμου, 5 τοῦ χάριν ἐγένετο, περὶ δὲ ἀνθρώπου δεικνύειν ἐπιχειρῶν ὡς οὐκ ἔστι πλάσμα θεοῦ, κινεῖ μὲν ἀνοήτως καὶ ἕτερα, πῶς δὲ καὶ ἐντολὴν ἐδίδου (φησίν) ὁ θεὸς τῷ Ἀδάμ; δυοῖν γὰρ θάτερον· ἢ ἐγίνωσκεν ὡς παραβήσεται καὶ οὐ μάτην μόνον ἐδίδου ἀλλὰ καὶ αἴτιος αὐτοῦ, ἢ ἀγνοοῦντα λέγειν ἀνάγκη τὸν θεὸν ἀγνοίᾳ 10 περιβεβλῆσθαι, ὡς τὴν ἐντολὴν δεδόσθαι μέν, εἰς ἐπιβουλὴν δὲ τοῦ ἀνθρώπου πρὸς τῆς κακίας (ὡς οἴεται) καὶ οὐδενὸς ἑτέρου, ὠφελῆσθαι δὲ τὰ μέγιστα καὶ ἠλευθερῶσθαι τὸν ἄνθρωπον, πεισθέντα συμβουλῇ τοῦ ὄφεως, ὃν ἄγγελον εἶναι τοῦ ἀγαθοῦ διορίζεται. τυφλὸς μὲν γὰρ ἦν, φησί, γευσάμενος δὲ τοῦ ἀπη- 15 γορευμένου εἶδεν ἑαυτὸν ὅτι γυμνὸς ἦν καὶ σκέπῃ τῇ εὑρεθείσῃ κατεχρήσατο καὶ ἔγνω τἀγαθόν τε καὶ τὸ κακόν. οὕτως μάλιστα ὠφέληται, παραβεβηκὼς τὸ πρόσταγμα τοῦ ἐπιβούλως πλάσαντος. πῶς δὲ (φησί) πρέποι θεῷ λέγειν „ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν καλὸν καὶ πονηρόν· καὶ 20 νῦν, μήποτε ἐκτείνας τὴν χεῖρα λάβῃ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα"; εἰ γὰρ ἐνῆν ἀθανασίαν ἀπολαβεῖν, φθονερὸς δὴ ὁ ἐξελαύνων τοῦ παραδείσου τὸν ἄνδρα καὶ ἀποκλείων αὐτῷ τὴν μετουσίαν τοῦ ξύλου τῆς ζωῆς, οὗ μετέχων εἰς ἀεὶ τὴν ἀθανασίαν ἔχειν οἷός τε ἦν. ὠνείδισε δὲ καὶ 25 τὸν φόνον τοῦ Ἄβελ καὶ ἐπιὼν τὸν κατακλυσμὸν προβάλλεται ὡς οὐκ ἂν ἐπενεχθέντα..............................

APPENDIX.

....

ἀπὸ τῶν μαθητῶν ἐξόριστος ἀπὸ τῆς διδασκαλίας γέγονεν. εἰ δὲ βούλεσθε μαθεῖν ὅτι καὶ οἱ δαίμονες αὐτοὶ οὐκ ἀπὸ ῥίζης 30 εἰσὶ κακοὶ οὐδὲ ῥίζαν ἀτοπίας ἔχουσιν, ἀλλὰ κἀκεῖνοι ἀπὸ προαιρέσεως ἐπὶ τοῦτο ἐληλύθασιν, οὐ πονηροὶ τὴν φύσιν ὄντες, οὐκ ἀγνοίᾳ ἐγγεγραμμένοι, οὔτε νὺξ καὶ σκότος τὴν οὐσίαν τυγχάνοντες, ἀλλ' ἕξει καὶ ἐπιτηδεύμασι τῇ ἐπιχειρήσει τῶν τοιούτων γεγονότες, τὸν λόγον ἐξετάσωμεν. τυφλὴ μὲν οὖν φύσις οὐδὲ 35 ἐν ἐλαχίστῃ καὶ ὀλίγῃ τῇ βλέψει γενήσεται καὶ αὐτὴ ἡ ἄγνοια

οὐδὲ ῥανίδα γνώσεως ἑαυτῇ προσποιήσεται οὐδὲ νὺξ αὐτὴ καὶ σκότος τὸ οὕτω πεφυκὸς κἂν εἰς βραχεῖαν λαμπηδόνα μεταποιηθήσεται. φαίνονται δὲ καὶ οἱ δαίμονες καὶ σωτῆρα εἰδότες καὶ κύριον ὁμολογοῦντες, „οἴδαμέν σε τίς εἶ“ λέγοντες „ὁ υἱὸς τοῦ
5 θεοῦ τοῦ ζῶντος“· εἰδέναι δὲ ἄγνοια οὐ δύναται καὶ βλέπειν τυφλὴ φύσις οὐκ ἰσχύει. ἴσασι καὶ ἀληθεύουσιν εἰδότες καὶ οὐ συκοφαντοῦντες λέγουσι. λέγουσι γὰρ ὄντες κἂν μὴ γνησίᾳ διαθέσει τὴν ἀλήθειαν, οὐκέτι τυφλῇ τῇ φύσει οὔτε τῇ ἀγνοίᾳ κατηγοροῦνται. ἦ[ς] γὰρ ἂν οὐδὲ τὸ ἐλάχιστον ἑώρων, οὔτε
10 ἱκέται ἦσαν οὔτε παρεχώρουν τῷ λεγομένῳ οὔτε διέκριναν τὸν φανέντα ἄλλον τῶν πολλῶν εἶναι καὶ οὐδὲν διαφέρειν αὐτόν τε καὶ αὐτούς. ἰδοὺ γὰρ τὰ ἄλογα ζῷα μεταξὺ σοφῶν τε καὶ ἀσόφων οὐκ ἔχει εἰδέναι ποῖοι σοφοὶ καὶ ποῖοι ἄσοφοι· εἰ δὲ ἔγνωσαν οἱ δαίμονες καὶ διάκρισιν εἰδότες ἀπολέλυνται τοῦ ἀδια-
15 κρίτου, διακρίσει' τὸ τοιοῦτον ἐπεγνωκότες, ἐλέγχεται καὶ ἐν τούτῳ μὴ φύσις, ἀλλὰ προαίρεσις πρυτανεύουσα. κἂν γὰρ νοήσῃ προαίρεσις κἂν σφαλῇ, ὅμως τοῦ εἶναι λογικὴ οὐκ ἀπήλλακται, ἀλλ' ἔχει τοῦτο μὴ διεφθαρμένον. οὕτω καὶ δαίμονες ἐπέγνωσαν αὐτόν, ἐλιπάρησαν, ἱκέτευσαν, ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς
20 τὴν ἄβυσσον ἀπελθεῖν. εἰ τῆς ἀβύσσου παῖδες ἦσαν, εἰ συγγένειαν πρὸς τὴν ἄβυσσον εἶχον, τί φεύγουσι τὰ συγγενῆ; τί τὴν οἰκείαν παραιτοῦνται ῥίζαν; μᾶλλον γὰρ ἂν ἠσπάσαντο ἀνάπαυλαν ἑαυτῶν τὴν συγγένειαν ἡγούμενοι· ἐν γὰρ τοῖς συγγενέσιν ἡ ἀνάκτησις γίνεται, ἐν δὲ ξένοις αἱ κακώσεις. μᾶλλον
25 γὰρ ἔδει αὐτοὺς παραιτεῖσθαι τὸν Ἰησοῦν, μᾶλλον δὲ ἔδει αὐτοὺς παραιτεῖσθαι τὸ ἐνταῦθα χωρίον, ἔνθα σπουδαῖοι καὶ ἐπιεικεῖς, ἀσπάζεσθαι δὲ τὴν ἄβυσσον ἢ τὴν ἐν ἀβύσσῳ ἄφιξιν. παραιτούμενοι δὲ καὶ φυλαττόμενοι καὶ ἀπιέναι ἐκεῖ οὐκ ἀνεχόμενοι, ἀλλ' ἱκετεύοντες τῆς αἰτίας ταύτης χάριν, ἱκανὸν τεκμή-
30 ριον δεδώκασι μηδεμίαν αὐτοὺς φυσικὴν συγγένειαν πρὸς τὰ κολαστήρια ἔχειν· οὐδέποτε γὰρ οὐδὲν ἑαυτὸ κακοῖ, πᾶν δὲ κακούμενον ὑπ' ἄλλου κακοῦται. ἀνάγκη γὰρ τὸ κακοῦν μὴ ἑαυτοῦ εἶναι κάκωσιν, ἀλλ' ἑτέρου του, πεφυκότος πάσχειν ἢ κακοῦσθαι. ἰδοὺ τὸ πῦρ ἑαυτὸ οὐ καίει· ἕτερον γὰρ καὶ οὐχ
35 ἑαυτὸ ἀναλώσει. ἰδοὺ τὸ ὕδωρ ἑαυτὸ οὐ κατακλύζει· τὰ γὰρ ἕτερα κατακλύσαι οἶδεν, ἑαυτὸ δὲ κατακλύσαι οὐκ ἔχει. ἰδοὺ ὁ ἀὴρ ψύχειν ἑαυτὸν οὐκ οἶδεν, ἐπεὶ πᾶν τὸ δρῶν καὶ κακοῦν ἕτερόν τι κακοῖ καὶ λυπεῖ. εἰ δὲ κακὴ ἡ ἄβυσσος καὶ κακοῦνται οἱ δαίμονες ὑπὸ τῆς ἀβύσσου καὶ βασανιστήριον μὲν ἡ ἄβυσσος,

στρεβλοῦνται δὲ οἱ δαίμονες, οὐκέτι τῷ ὁμοίῳ βασανίζονται, ἀλλ' ἕτεροι ὄντες ὑπὸ ἑτέρου βασανίζονται, οὐκέτι τῆς φύσεως ταύτης· οὐδὲ τῆς οὐσίας· ἑτέρας γὰρ ἐδείχθη οὐσίας ἡ ἄβυσσος. καὶ ὅτι μὲν οἱ δαίμονες ἑτέρου γένους καὶ ἑτέρας οὐσίας παρὰ τὴν ἄβυσσον, ἱκανὰ τὰ εἰρημένα. καὶ αὕτη δὲ ἡ ἄβυσσος βασανιστήριον μὲν ἐστὶ καὶ κολαστήριον, οὐκ αἰώνιον δὲ οὔτε ἀγέννητον, ἀλλ' ὕστερόν ποτε γεγενημένον, ὀψέ ποτε πεποιημένον ἀντὶ φαρμάκου καὶ βοηθήματος τοῖς ἡμαρτηκόσιν. ἱεραὶ γὰρ αἱ μάστιγες, φάρμακον οὖσαι τῶν ἡμαρτηκότων· ἱεραὶ αἱ πληγαί, βοηθήματα τυγχάνουσαι τῶν σφαλέντων. οὐ γὰρ ἵνα ὦσι κακοὶ αἱ πληγαὶ γεγόνασιν, ἀλλ' ὅπως μὴ ὦσι κακοὶ γεγόνασιν αἱ μάστιγες. λυπούμενοι γὰρ τῇ πληγῇ οἱ κακοὶ τῇ μάστιγι κολοβοῦσι τὰ κακά. διὰ τοῦτο οὐδὲ τὰς ἀβύσσους μεμφόμεθα, ἀλλ' οἴδαμεν ὅτι βασανιστήριον καὶ κολαστήριον γεγόνασι, σωφρονισμὸς τῶν ἡμαρτηκότων τυγχάνουσαι. εἰ δὲ βασανιστήριον καὶ στρεβλωτήριον ἡ ἄβυσσος, στρεβλοῦνται δὲ καὶ βασανίζονται οἱ δαίμονες καὶ τὴν οὐσίαν ἔχουσιν εὐπαθῆ πρὸς τὰ βασανιστήρια καὶ δύνανται ἔχειν καὶ ἀλγηδόνα, ὑπόκεινται καὶ τιμωρίᾳ καὶ ἀντίληψιν ἔχουσι τῶν κολάσεων, πῶς ἀγένητοι; πῶς ἀεί; πῶς οὐδέποτε ἤρξαντο; πῶς ἀφ' ἑαυτῶν εἰσιν οἱ μὴ ἀπαθεῖς, οἱ παθεῖν δυνάμενοι καὶ τιμωρηθῆναι ἰσχύοντες; οὐδέποτε γὰρ τὸ ἀγένητον οὐδὲν πείσεται οὐδὲ ὑπό τινος τιμωρηθήσεται, ἀλλ' ἀφ' ἑαυτοῦ ἀρξάμενον ἑαυτῷ μένει καὶ μὴ ἀφ' ἑτέρου δεξάμενον τὴν ἀρχὴν οὐδὲ ἀφ' ἑτέρου τὴν τιμωρίαν λαμβάνει καὶ μὴ ἐπιγραφόμενον τὸν αἴτιον, οὐκ ἐπιγραφήσεται τὸν κολάζοντα, καὶ οὐ κριθήσεται παρ' ἑτέρου, μὴ παρ' ἑτέρου ἀρξάμενον καὶ οὐ φοβηθήσεται οὐδένα, παρ' οὐδενὸς τὸ εἶναι εἰληφός. τί γὰρ καὶ φοβηθήσεται, εἰ τελείαν τὴν σύστασιν ἔχει; εἰ τέλειον τὸν ἀπαρτισμόν; εἰ ἀφ' ἑαυτοῦ ἀπήρτισται καὶ ἑαυτῷ ἥρμοσται; τὰ γὰρ δυνάμενα παθητὴν ἔχειν τὴν ἁρμονίαν φοβεῖται τὸν δυνάμενον μεταποιεῖν τὰς ἁρμονίας, τὸ δυνάμενον παθεῖν φοβεῖται τὸν δρῶντα. εἰ δὲ φοβοῦνται οἱ δαίμονες καὶ δύνανται παθεῖν, οὐκ ἀγένητοί εἰσιν. τὸ γὰρ ἀγένητον ἀπαθὲς καὶ οὐ δύναται παθεῖν, ἔξω τῆς φύσεως τῶν γενητῶν ὑπάρχον. ὅτι δὲ ἱκετεύουσιν, ἐν αἰσθήσει εἰσὶ καὶ οἴδασιν ὃ εἰσι καὶ οἴδασιν ὅτι δύνανται παθεῖν. οὐ γὰρ ἠγνόησαν ἑαυτούς, οὐκ ἀπαθεῖς ἑαυτοὺς ἐλογίσαντο. τὸ δὲ εἰδέναι τινὰ ἑαυτὸν καὶ μὴ ἠγνοηκέναι αἰσθήσεώς ἐστι σύμβολον καὶ σημεῖον. εἰ δ' ὅτι εἰσὶν εὐπαθεῖς ἐδειλίασαν καὶ δειλιῶντες ἱκέτευσαν καὶ ἱκέτευον τὸν δυνάμενον,

οὐκ ἠγνόησαν τὸν ἰχνεύοντα· αὕτη γὰρ ἡ ἱκεσία αὐτῶν μαρ-
τυρεῖ ὅτι ᾔδεισαν τὸν ἰχνεύοντα. καὶ ὅτι μὲν ἦσαν εὐπαθεῖς
καὶ παθητοὶ οὐκ ἠγνόησαν, ὅτι δὲ ἐκεῖνος ἦν ὁ ἰχνεύων ὁ κύριος
καὶ βασιλεὺς τῶν πραγμάτων, φαίνονται διὰ τῆς ἱκεσίας ἐπιστά-
5 μενοι. καὶ ταῦτα περὶ δαιμόνων κατεσκευάσαμεν, ἵνα μηδὲ ὁ
περὶ δαιμόνων ἀργῇ λόγος. ἐγχωρεῖ γὰρ καὶ ταῦτα προστιθέναι
ὅτι ἡ φύσις ἑαυτῇ ὁμοία ἐστὶ καὶ οὐδεμίαν διαφορὰν πρὸς ἑαυ-
τὴν ἔχει. ἰδοὺ γὰρ τὸ πῦρ ὅλον ὅμοιον ἑαυτῷ, οὐχ ἧττον
ἑαυτοῦ θερμὸν οὐδὲ μᾶλλον ἑαυτοῦ, οὐ τὸ μᾶλλον καὶ τὸ ἧττον
10 ἔχει. ἐν γὰρ ταῖς φύσεσι τὸ μᾶλλον καὶ τὸ ἧττον ἀργεῖ· ὅπου
δὲ μᾶλλον καὶ ἧττον, οὐκέτι φύσις, ἀλλὰ προαιρέσεως ἐπίδοσις.
εἰ δὲ γέγραπται καὶ περὶ δαιμόνων ὅτι „ἀπέρχεται καὶ παρα-
λαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ“ καὶ φαί-
νεται ἐκ τοῦ λόγου ἐπίδοσις, ὅτι τὸ μὲν πονηρόν, τὸ δὲ πονη-
15 ρότερον, διαφορὰ πονηρίας, ποῦ ἔτι φύσις μὴ οὖσα ὁμοία ἑαυτῇ;
διαφορᾶς ἐν πονηρίᾳ εὑρισκομένης καὶ τῆς διαφορᾶς μαρτυρού-
σης τῇ προαιρέσει καὶ μὴ τῇ φύσει. ἅλις μὲν τῶν τοιούτων
λόγων, ἐπιχειρήσωμεν δὲ καὶ τὴν μυθοποιΐαν αὐτῶν τὴν πρώτην
ὑφηγησάμενοι, τοῖς ἀνασκευαστικοῖς χρήσασθαι λόγοις. κακία,
20 φησίν, ἦν καὶ ἀγένητος ἦν· ἦν δὲ καὶ ὁ θεὸς ἀγαθὸς καὶ μεμε-
ρισμένοι τόποι τῆς οἰκήσεως καὶ ἑκάτερος καθ' ἑαυτὸν τοῦ ἑτέ-
ρου ἀπηλλαγμένος. καὶ ἀφώριστο μὲν κακίας ὁ θεός, ἀφώριστο
δὲ καὶ ὁ τῆς κακίας ἄρχων τοῦ θεοῦ καὶ ἑκάτερος καθ' ἑαυτὸν
ἦν καὶ ἦρχεν ἑκάτερος τῶν ἰδίων καὶ ᾠκονόμει ὡς ἐπεφύκει,
25 ὁ μὲν κακὸς κακῶς, ὁ δὲ ἀγαθὸς ἀγαθῶς, ὁ μὲν κακὸς βλάπτων
καὶ τὰ ἑαυτοῦ βλάπτων καὶ τοῦ βλάπτειν τὰ ἴδια μὴ ἀπαλλατ-
τόμενος, ὁ δὲ ἀγαθὸς ἀεὶ ἀγαθὸς καὶ ὠφελῶν καὶ τὰ ἑαυτοῦ
ὠφελῶν καὶ μηδέποτε μὴ ὠφελῶν. πᾶσα γὰρ ὠφέλεια ἐξ ἀγα-
θοῦ προήρχετο. ἀνακόλουθα μαθημάτων. ἐμαχέσαντο, τὰ τελευ-
30 ταῖα ἐζήτησαν, εὑρεῖν οὐκ ἠδυνήθησαν, ἀπὸ τῆς ἀρχῆς τὴν
ἀκολουθίαν μὴ παραδεξάμενοι. καὶ μικρὰ μὲν ταῦτα καὶ οὐ
πολλά, αὐτάρκη δὲ πρὸς τὴν ζήτησιν. τὸν γὰρ χαρακτῆρα μόνον
κεκίνηκα καὶ οὐκ εἰς πλῆθος καταβέβηκα τῶν μαρτυριῶν. τὰ
γὰρ συγγενῆ τῶν λεγομένων ζητήσει ὁ ἀναγινώσκων καὶ ἐκ τού-
35 των ἐπὶ τὰ ὅμοια καὶ ἀδελφὰ χωρήσει ἀναγνώσματα. ἡμεῖς
δὲ φέρε κατασκευάσωμεν τὸν ἐκείνων λόγον, τὰ δόγματα
ἐκείνων παραθέμενοι. πονηρὸς μὲν ἦν ὁ Σατανᾶς, ἀγαθὸς δὲ
ἦν ὁ θεός. καὶ οὕτως ἦν. τὸν μῦθον στρέφω, ἵνα τὸν μῦθον
δυσωπήσω, καὶ εἰ μὴ παράθωμαι ἃ ἐξηγοῦνται, ἐντρέψαι τὴν

μυθοποιίαν οὐκ ἔχω. ἀγαθὸς μὲν ἦν ὁ θεός, φησί, πονηρὸς δὲ ὁ Σατανᾶς. καὶ ἦν πονηρὸς καὶ οὐδέποτε οὐκ ἦν· ἀεὶ γὰρ ἦν καὶ οὐκ ἀπὸ τινὸς ἦν. ἦν γὰρ καὶ ῥίζα ἦν, φησί. καὶ ἦν κύριος καὶ αὐτὸς ἦν καὶ ῥίζα ἦν καὶ ῥίζα καλὴ καὶ ῥίζα καλῶν καὶ πᾶν καλὸν ἀπὸ τούτου ἐξῆλθε. δύο γὰρ ἦσαν ῥίζαι καὶ δύο 5 προῆλθον πρόοδοι. αἱ πρόοδοι κατάλληλοι ταῖς ῥίζαις. ἀπ' ἐκείνης τὰ τοιαῦτα καὶ ἀπὸ ταύτης τὰ τοιαῦτα θρυλοῦσι. στῶμεν ἕως τούτων, ἐπιχειρήσωμεν λοιπὸν τὴν ἐξέτασιν καὶ ἴδωμεν συλλογισμοὺς καὶ μνημονεύσωμεν ῥητῶν, ἵνα καὶ τοῖς συλλογισμοῖς συναγάγωμεν καὶ τοῖς ῥητοῖς πείσωμεν. φήσομεν γὰρ 10 πρὸς αὐτούς· ἐπεὶ θεὸς ῥίζα ἦν καὶ ῥίζα καλὴ καὶ καρποὶ καλοὶ ἀπὸ ῥιζῶν καλῶν προηνέχθησαν καὶ ὁ Σατανᾶς ῥίζα ἦν καὶ ῥίζα κακὴ καὶ καρποὶ κακοὶ ἀπὸ ῥίζης κακῆς προηνέχθησαν, τίνος καρποὶ οἱ ἀπόστολοι; ἵνα ἐκ τῶν καρπῶν γνῶμεν τὸ ζητούμενον, ὅπερ οὐκ ἀπὸ τῶν ῥιζῶν λαμβάνω. φήσομεν γάρ· 15 ἡ ῥίζα ἡ κακὴ οὐδὲν καλὸν προεξενεγκεῖν οἶδεν οὔτε ἡ ῥίζα ἡ καλὴ οὐδὲν κακὸν προεξενεγκεῖν οἶδε, φαίνονται δὲ οἱ ἀπόστολοι ποτὲ μὲν καλοί, ποτὲ δὲ κακοί, καὶ ὀψὲ μὲν καλοί, ἀρχῆθεν δὲ κακοὶ καὶ μεταβολὴν πεποιημένοι ἀπὸ τῶν κακῶν. εἰ μὲν γὰρ φήσομεν τοῦ Σατανᾶ καρποὺς εἶναι τοὺς ἀποστόλους διὰ τὰ 20 παλαιὰ πταίσματα, δυσωπηθήσονται διὰ τὴν ἀποστολὴν καὶ τὴν τελειότητα τῶν ἀρετῶν — εἰ δὲ τοῦ θεοῦ, τί ἐροῦσι περὶ τῶν πταισμάτων τῶν παλαιῶν καὶ τῆς παλαιᾶς διαβολῆς; δυσωπήσει γὰρ αὐτοὺς τὸ γράμμα καὶ ἐλέγξει αὐτῶν τὴν κρίσιν. εἰ δὲ ἀποροῦντες καὶ εἰπεῖν μὴ δυνάμενοι ἀντερωτῶσι, φάσκοντες 25 δύσκολον εἶναι τὴν λύσιν τῶν προτάσεων καὶ δύσκολον εἶναι τὴν ἀπόδειξιν, φήσομεν καὶ ἡμεῖς οὐ καρποὺς εἶναι τοὺς ἀποστόλους τοῦ θεοῦ, ἀλλὰ ποιήματα καὶ πλάσματα· οὐ γὰρ ὡς ἀπὸ ῥίζης καρποὶ προηνέχθησαν, ἀλλ' ὡς ἀπὸ κτιστοῦ καὶ ποιητοῦ κτίσματα καὶ ποιήματα γεγένηνται τοῦ πεποιηκότος, οὐχ 30 ὡς ὁμοούσια τοῦ πεποιηκότος. γενητοὶ γὰρ ἐκ τοῦ ἀγενήτου, ποτὲ οὐκ ὄντες, ὕστερον δὲ πεποιημένοι, τὸ μὲν εἶναι ἀπὸ τοῦ πεποιηκότος λαβόντες, οὐκ οὐσίαι δὲ ἐξ οὐσίας, ἀλλ' ὑποστάσεις ἐξ ἀγαθότητος τοῦ δημιουργοῦ πεποιημένοι καὶ οὕτω πεποιημένοι, ἵνα προαιρέσει τὴν ἀρχὴν ἔχωσι. φαίνεται οὖν ὁ σωτὴρ 35 λέγων „εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν,“ „εἰ θέλεις τέλειος γενέσθαι,“ „εἰ θέλεις ὑγιὴς γενέσθαι.“ εἰ ὁ ποιήσας τοιαῦτα καλεῖ, δι' οὗ πατὴρ πάντα ἐποίησε, νόει τοῦ πεποιηκότος τὰς φωνάς. ἐν τῷ θέλειν τοὺς νόμους ἔθετο, ἐν τῇ θελήσει τὰ νόμιμα

ἀποταμιεύεται, τὴν βούλησιν τῶν κραττόντων χωρίαν τῶν κραττομένων ἐπίσταται. ἀμέλει τιμῶν τὴν τῶν πράξεων κοινωνίαν
ἀνήρτησεν ἐν τῇ θελήσει ὁ λόγος „ἐὰν θέλητε καὶ εἰσακούσητέ
μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε, ἐὰν δὲ μὴ θέλητε μηδὲ εἰσα-
5 κούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται.“ ἄτοπον δὲ καὶ τὸν περὶ
τῶν φαυλοτάτων καταλιπεῖν λόγον καὶ τὴν περὶ τῶν αἰσχίστως
καὶ ἐκδεδιῃτημένως ἀναστρεφόντων παραλιπεῖν ἐξέτασιν, μήπως
ἡ ἡμῶν σιωπὴ ἀπόνοιαν χαλεπωτάτην αὐτοῖς κατασκευάσῃ. οὐ
σφόδρα διαβάλλουσι τὸν Ναβουχοδονόσορ; οὐ σφόδρα μέμφον-
10 ται τὸν Φαραώ; οὐ πέρας αἰσχρότητος αὐτοὺς νενομίκασι;
τοιαῦτα γὰρ περὶ τῆς ἐκείνων διαγωγῆς ἄνω καὶ κάτω θρυλοῦσιν.
εἰ μὲν οὖν ἐν ταῖς διανοίαις ἐκείνων οὐδεμία σπουδὴ φανείη,
λόγος ἂν εἴη ἕτερος· εἰ δὲ ἐν τοῖς οὕτω κακοῖς καὶ μέρη εὑρί-
σκεται καλῶν καὶ αἰσθήσεις καὶ ἀντιλήψεις καὶ μετάμελος καὶ
15 ἱκεσίαι, τί ἔτι φήσουσιν; εἰ γὰρ οὗτος ὁ πάνυ αἴσχιστος φανείη
τινὰ μέρη ἔχων ἀρετῆς καὶ τρόπων ἐπιτηδειότητα, τί ἐροῦσιν;
ἢ γὰρ τὸν Σατανᾶν μικτὸν ἐξ ἀρετῆς καὶ κακίας ὡς μικτοὺς
καρποὺς ἐνεγκόντα φήσουσιν ἢ τούτους καρποὺς μὴ εἶναι τοῦ
διαβόλου. οὐκέτι γὰρ οἱ μικτοὶ τοῦ ἀμίκτου εἶεν ἂν καρποὶ
20 οὔτε ῥίζα τὸ ἄμικτον τοῦ μικτοῦ φανήσεται. οὗτοι δὲ καὶ μικτοὶ
ἐφάνησαν, χρόνῳ καὶ τὰς ἐπιστήμας λαβόντες καὶ πονηρίᾳ αἱρε-
θέντες. καὶ φανήσεται κατὰ τοῦτον τὸν λόγον πλάσμα εἶναι
λόγου καὶ μὴ ἀληθείας ὑπόστασις. ἰδοὺ γὰρ ὁ μὲν Φαραὼ ἐν
ταῖς ἐπιτιμίαις ἐνδίδωσι καὶ ἁπαλύνεται, ἐνδίδωσι τῇ διανοίᾳ
25 καὶ κατατυφθεὶς τὴν ψυχὴν οὐκ ἐπιμένει τῇ τραχύτητι, ἀλλὰ
δύο ποιεῖ — καὶ τὴν εὐχὴν αἰτεῖ καὶ κατηγορεῖ τοῦ γενομένου,
καὶ οὐ φαίνεται πηρὸς ἡ ψυχὴ ἀλλ' ἐμβλέπουσα καὶ πρὸς μετά-
νοιαν χωροῦσα, ἀντιλαμβανομένη δὲ καὶ τῆς αἰτήσεως καὶ ἱκε-
σίας καὶ λιπαροῦσα εὐχῆς ἕνεκεν. εἰ δὲ ἐπεφύκει κακός, πῶς
30 ἐγνώκει περὶ τῆς εὐχῆς καὶ τῆς μετανοίας; εἰ γὰρ ἡ μετάνοια
καλή, καὶ ἡ εὐχὴ καλή· εἰ δὲ ἡ φύσις κακή, πῶς ἐμίγη τὸ
κακὸν τῷ καλῷ; πῶς δὲ ἐκ κακοῦ καλὸν προηνέχθη; καὶ φαί-
νονται μὴ εἰδότες ἃ λέγουσιν, ἀλλὰ ἀπαιδεύτῳ γνώμῃ πτύσματα
μᾶλλον ῥημάτων ἢ ῥήματα προφερόμενοι. εἰ δὲ καὶ ὁ Ναβου-
35 χοδονόσορ, καίτοι χαλεπὸς ὢν τὸ ἦθος καὶ τὴν κάμινον εὐτρε-
πίσας καὶ τὴν εἰκόνα ποιήσας καὶ τῇ ἀπειλῇ φοβῶν καὶ προ-
σκυνεῖν τὸ ἄγαλμα ἀναγκάζων, ὡς οἱ ἅγιοι ἔνδον ἐβάλλοντο
καὶ ὑπεχώρει ἡ φλὸξ καὶ τῶν σωμάτων οὐχ ἥπτετο καὶ συνα-
γωγὴ ἡ κάμινος ἐγίνετο καὶ ἀντὶ ὀδυρμῶν ἔνδον ὕμνοι ἐτελοῦντο

καὶ οὐκέτι καιομένης σαρκὸς θρῆνος ἐπέμπετο, ἀλλ' ἐκ πανηγυριζούσης ψυχῆς ᾆσμα ἐτελεῖτο, παρέκυψεν ἰδεῖν τὰ ἔνδον, τετίμηται τῇ τοῦ ἀγγέλου θεωρίᾳ, ἀφῆκε φωνὴν „οὐχὶ τρεῖς ἄνδρας ἐνεβάλομεν εἰς τὴν κάμινον; ἰδοὺ τέσσαρας ὁρῶ καὶ τὸν τέταρτον ὡς ὅμοιον υἱῷ θεοῦ.“ εὐθέως γοῦν γράφει ὑπὲρ τού- 5 του νόμον ὁμολογεῖν τὸν θεόν, μαρτυρεῖν τὴν ἀλήθειαν· ἐξηγητὴς τῆς ὁράσεως γίνεται. διαβάλλομεν οὖν τὰς ἐξηγήσεις ἢ ἐπαινέσομεν; καλὸν τὸ πρεσβεύειν ὑπὲρ χριστοῦ. ἢ ἐν πονηρῷ μέρει αὐτὸ ἐῶμεν; εἰ μὲν γὰρ τὸ πρεσβεύειν τὰ θεῖα λόγια καὶ μάρτυρας εἶναι τῆς ἀληθείας καλόν, ἐπρέσβευσε δὲ καὶ Ναβου- 10 χοδονόσορ καὶ ἔγραψε καὶ εἰς πᾶσαν τὴν ἀρχὴν αὐτοῦ ἔπεμψε, λέλυται ἡ φύσις. ἐπιστάμενος γὰρ τὸ καλόν, πρὸς τὴν μάθησιν ἔβλεψε τοῦ καλοῦ. εἰ δὲ ἤμβλυνε τὴν μάθησιν τῇ πρὸς τὴν πονηρίαν διαθέσει, κατηγορεῖται. ἕτερον γὰρ τὸ ὅλως μὴ δύνασθαι ποιεῖν τὸ καλόν, ἕτερον δὲ τὸ εἰδέναι μέν, μὴ δύνα- 15 σθαι δὲ τῇ πρὸς τὰ πάθη ῥοπῇ ἡττώμενον. ἐπειδὴ δὲ ἐν ἀνθρώποις καρποὶ τοῦ διαβόλου οὐχ εὑρέθησαν καὶ ἐδυσωπεῖτο αὐτῶν ὁ τρόπος καὶ ἠλέγχθη αὐτῶν ἡ ἀτοπία, ποῦ λοιπὸν τραπῶμεν; εἰ μὴ ἄρα πρὸς τοὺς δαίμονας βαδίσομεν, εἴ γε μὴ ἄρα φήσουσιν „ἀνθρώπων μὲν οὐδεὶς καρπὸς τοῦ δια- 20 βόλου, δαίμονες δὲ γόνοι καὶ τοκετὸς μόνοι αὐτοῦ“. καὶ ταῦτα λέγοντες δυσωπηθήσονται μὲν καὶ ἐν τούτῳ, πρῶτον δὲ ἀκουέτωσαν. εἰ οὐδεὶς ἄνθρωπος τέως τοῦ ἑνὸς ἀπολέλυται, οὐδὲν οὖν κοινὸν τῷ Σατανᾷ καὶ τῷ βίῳ τούτῳ, ἀλλὰ πάντων ἀπήλλακται, πάντων γέγονε ξένος, ἐκβέβληται καταπεπομένος καὶ 25 ἔστιν ἁλωτὴ καὶ λυτὴ καὶ λυομένη καὶ ἀναλισκομένη, οὐκέτι τὰ τῶν μὴ ἀφανιζομένων ὑποστήσεται, μὴ ἔχουσα δὲ τὴν φύσιν ἀβλαβῆ καὶ ἀνώλεθρον, οὐκέτι ἀγένητος ὑποπτευθήσεται, μὴ οὖσα δὲ ἀγένητος, οὔτε ἄναρχος οὔτε ἀτελεύτητος φανήσεται ἡ κακία, ἄλλοτε μὲν οὐκ οὖσα, ἄρτι δὲ δοκοῦσα ἐμβομβεῖν. 30 καὶ γὰρ ὅ ἐστιν οὐκ οὐσία ἐστίν, ἀλλὰ νόσημά τι συμβεβηκὸς περὶ τὰς οὐσίας, δυνάμενον τῶν οὐσιῶν καὶ τῶν ὑποστάσεων χωρισθῆναι. ὅτι γὰρ αὐτὸς ὁ ἀπατεὼν ὅπερ ἐστὶ κατὰ πτῶσιν καὶ κατ' ὄλεθρον τυγχάνει, τῆς πτώσεως καὶ τοῦ ὀλίσθου μαρτυροῦντος τῇ ὑπεξαιρέσει τῶν προϋπηργμένων καλῶν, μαρτυρεῖ 35 μὲν Ἡσαΐας ὁ προφήτης „πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος, πρωῒ ἀνατέλλων,“ τὴν μὲν τοιάνδε αὐτοῦ κατάστασιν ἔκπτωτον εἰδώς, τὴν δὲ παλαιὰν θείαν καὶ διαυγεστάτην τυγχάνουσαν — μαρτυρεῖ δὲ καὶ ὁ σωτήρ, ἐν τῷ εὐαγγελίῳ λέγων „ἰδοὺ ὁρῶ

τὸν Σατανᾶν ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ οὐρανοῦ." εἰ δὲ οὕτως ἐπεφύκει καὶ οὕτως ἦν, οὐκ ἂν πῇ μὲν πτῶσις, πῇ δὲ ἔκπτωσις ἐκαλεῖτο. τὸ γὰρ πῖπτον ἀπό τινος στάσεως πίπτει, τὸ δὲ ἐκπῖπτον ἀπό τινος περιουσίας ἐκβαίνει. εἰ δὲ ἐν πεσοῦσι
5 λέγεται, ἧν ποτε ἐν στάσει καὶ ἑδραιότητι τυγχάνων. εἰ δὲ καὶ ἐν τοῖς ἐκπεπτωκόσι κατηγορεῖται, οὐ πένης ἦν, οὐκ Ἶρος ἦν ποτε, ὅτε πολλὴν περιουσίαν εἶχεν, ἀλλὰ διά τινα νόσον στέρησιν ἐκείνης τῆς περιουσίας ὑπομείνας ἐν πεπτωκόσι κρίνεται. ἀμέλει καὶ τὴν περιουσίαν ἡ γραφὴ ὁμολογεῖ. εἰ γὰρ „πῶς
10 ἐξέπεσεν ὁ ἑωσφόρος" καὶ περιουσία ἦν τὸ ὄνομα καὶ ἑωσφόρος ὢν αὐτὴν τὴν τοῦ ἑωσφόρου ἐνέργειαν καὶ δύναμιν καὶ περιουσίαν καὶ κτῆσιν εἶχε καὶ ταύτης ἐκπεσὼν ταύτης γέγονε κενός, πενητεύει μὲν ἐν τῇ περιουσίᾳ τοῦ ἑωσφόρου, ἀλητεύει δὲ καὶ κινδυνεύει, Ἶρος ὢν καὶ ἔκπτωτος, ὁ πάλαι πολλὴν περιουσίαν
15 ἔχων. εἰ δὲ κατὰ τὸ εὐαγγέλιον τῶν πιπτόντων ἐστὶ καὶ χαμαὶ κειμένων καὶ κυλινδουμένων λοιπὸν ἐν τῷ ἐδάφει, εἱστήκει ποτὲ καὶ ἠδύνατο λέγειν „ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ", ἠδύνατο ἀκούειν „στῆτε περιζωσάμενοι τὰς ὀσφύας ὑμῶν ἐν ἀληθείᾳ", καὶ δυνάμενος τοῦ ἀκούειν
20 οὐκ ἠσφαλίσατο τὸ εἰρημένον λόγιον „ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ", καὶ μηδεμίαν πρὸς τὸ τοιοῦτον πεποιημένος ἀσφάλειαν ἐν τοῖς τοιούτοις σήμερον κυλινδεῖται. τὸ γὰρ ἀεὶ χαμαὶ κείμενον οὐκ ἂν πέσῃ (κεῖται γὰρ χαμαί), τὸ δὲ πεπτωκὸς καὶ χαμαὶ γεγονὸς ἀπὸ ἑστηκότων καὶ ἐρ[ηρ]εισμένων παρέλκον ἐπὶ
25 τὸ πεσεῖν ἐλεύσεται, καὶ τὸ ἀεὶ πενητεῦον καὶ οὐδέποτε εἰληφὸς οὐδεμίαν περιουσίαν οὐδέποτε ἐκπεσεῖται· ἀεὶ γὰρ οὐδὲν ἔχει καὶ οὐ δύναται ἐκπεσεῖν, οὐδὲν οὐδέποτε ἐσχηκός. τὸ δὲ ἔκπτωσιν ὑπομεῖναν καὶ πεπονθὸς ἀπὸ πολλῆς περιουσίας καὶ ὑπάρξεως τυγχάνει. καὶ τοιοῦτος μὲν ὁ πρῶτος ἔλεγχος. ἀλλ' ἐπειδὴ
30 (φασίν) ἔτι προϊοῦσα ἡ κακία καὶ ἑαυτὴν κατατείνουσα καὶ γενομένη πρὸς τῷ φωτὶ ἥρπασεν ἀπὸ τοῦ φωτὸς καὶ κατέπιεν ἀπὸ τοῦ φωτός, φέρε τὴν πρεσβείαν, ἣν ὑπὲρ τοῦ πονηροῦ πεποίηνται κατὰ τῆς ἀληθείας, καταλῦσαι μὴ παραιτησώμεθα. ἐπαίρουσι γὰρ τῷ λόγῳ τούτῳ τὴν πονηρίαν, εὐτελίζουσι δὲ τὴν
35 ἀλήθειαν, καὶ νεῦρα μὲν διδόασι τῇ πονηρίᾳ, ἄνευρον δὲ τὴν ἀλήθειαν ὑποτίθενται. εἰ γὰρ ἡ μὲν πονηρία ἥρπασε, τὸ δὲ φῶς ἥρπασται καὶ ἁρπαζόμενον ἔπασχε καὶ πάσχον παθητὸν ἦν, παθητὸς μὲν κατ' αὐτοὺς ὁ θεός, ἀπαθὴς δὲ ὁ Σατανᾶς, ὁ μὲν δυνάμενος παθεῖν, ὁ δὲ δυνάμενος δρᾶσαι. τοῦ γὰρ φωτὸς

ὄντος παθητοῦ καὶ αὐτὸς ἂν εἴη παθητός, οὐχ ἕτερος ὢν παρὰ τὸ φῶς, εἴγε ἠδυνήθη παθεῖν καὶ παθεῖν μὴ ἀφ' ἑαυτοῦ, ἀλλ' ὑπὸ τοῦ πολεμίου καὶ μαχομένου, καὶ ἀποστῆναι μὲν ἑαυτοῦ, γενέσθαι δὲ πρὸς τῷ χείρονι. πῶς δὲ καὶ τῶν ἰδίων κεχώρισται ὁ τὴν ἑνωτικὴν φύσιν ἔχων; τὰ γὰρ κατὰ φύσιν 5 πεφυκότα χωρίζεσθαι ἑαυτῶν οὐ πέφυκεν. εἰ δὲ ἀγένητον ἦν τὸ φῶς καὶ ἥνωτο τῷ ἀγενήτῳ, πῶς ποτε χωρισθῆναι δεδύνηται; πῶς δὲ ἀπαλλαγῆναι ἑαυτοῦ καὶ γενέσθαι ἕτερον παρ' ἑαυτό; εἰ γὰρ ὑπηρέτησε πονηρῷ καὶ βεβιασμένον ὑπὸ τῆς πονηρίας λοιπὸν τὰ πονηρίας ᾑρεῖτο καὶ ἔπραττε τὰ πονηρίας καὶ ἠγνόει 10 μὲν ἑαυτὸ καὶ οὐκέτι ἑαυτὸ ἐγνώριζεν, ἀλλ' ἐπιλῆσμον ἑαυτοῦ ἐγεγόνει, ᾤετο δὲ ἑαυτὸ τοιοῦτον εἶναι οἷόν ἐστι καὶ τὸ πονηρόν, μαχόμενος φανήσεται ὁ λόγος. τὸ γὰρ ἀγένητον οὔτε ἑαυτὸ ἀγνοεῖ οὔτε ἔσται ἕτερον παρ' ἑαυτό, ἀλλὰ τοιοῦτον διαμένει οἷον ἦν καὶ οὐδέποτε ἑαυτοῦ ἀπαλλαγήσεται, οὐδέποτε τοῦ εἶναι 15 ἀρξάμενον. ἀλλ' ἐπειδὴ γραώδη καὶ μυθώδη φθέγγονται, οὔτε ἃ λέγουσιν εἰδότες, ἀλλ' ἀφ' ὧν λέγουσι δυσωπούμενοι, καὶ τοῦτο προ[σ]γράψωμεν τῷ λόγῳ. ἠδύνατο τὸ φῶς ἀμειφθῆναι καὶ ἕτερον παρ' ἑαυτὸ γενέσθαι καὶ γενέσθαι πρὸς τῇ πονηρίᾳ καὶ ἑαυτοῦ μὲν ἐπιλαθέσθαι, ποιῆσαι δὲ ὅσα ἡ πονηρία ποιεῖ· ἠδύ- 20 ναντο καὶ οἱ τῆς πονηρίας ἄρχοντες τοῦτο παθεῖν καὶ μᾶλλον μεταβάλλεσθαι ἐπὶ τὸ καλόν· ἰσχυούσης δὲ τῆς μεταβολῆς καὶ δυναμένης τῆς ἀλ[λ]οιώσεως, πῶς οὐκ ἄμεινον ἦν τοῖς κακοῖς μᾶλλον ἐπὶ τὴν ἀρετὴν μεταβληθῆναι ἢ τοῖς καλοῖς ἐπὶ τὴν κακίαν; πῶς δὲ καὶ ἠνέσχετο ὁ θεὸς καὶ ληφθῆναι τὸ φῶς ἐπέ- 25 τρεψε; πῶς οὐ κεκώλυκε τὴν ὁρμήν; πῶς τὰ ἴδια οὐκ ἐτήρησε; πῶς δὲ μετὰ τὸ ἀφαιρεθῆναι πρόνοιαν τῶν ἀφαιρεθέντων ποιήσασθαι οὐ βεβούληται; πῶς οὐ προλαβὼν ἐπέσχε τὴν ἐπιχείρησιν; πῶς μᾶλλον ἀνάλωτα οὐ τετήρηκεν, ἀλλὰ ἁλόντα καὶ ληφθέντα βοηθείᾳ οὐ τετίμηκεν; εἰ μὲν εἴασεν ἵνα τὸ φῶς γενόμενον ἐν τοῖς κακοῖς 30 μεταβάλῃ τὰ κακά, ὡς δυναμένων μεταβάλλεσθαι τῶν κακῶν, οὐκέτι τὰ κακὰ φυσικά, δυνάμενα μεταβάλλεσθαι, ἀπὸ τῶν κακῶν ἐνέχυρον τὴν μεταβολὴν κατὰ τῆς φύσεως λαμβάνει. εἰ δὲ ἠπίστατο ὅτι οὐ μετεβάλλετο καὶ ὅτι οὐ πέφυκεν ἀλλοιοῦσθαι, πῶς μάτην εἴασε ζημίαν μὲν ὑπομεῖναι τὸ καλόν, κέρδος δὲ μὴ ἀπονεῖμαι τῷ 35 κακῷ; πῶς δὲ αὐτὰ μὲν τὰ κακὰ οὐκ ἀλλοιοῦσθαι οἶδεν, ἑαυτὸν δὲ καὶ τὰ ἑαυτοῦ καλὰ ἀλλοιούμενα παρεῖδεν; ἄτοπος γὰρ ὅρος οὗτος αὐτὸν μὲν εἶναι ἀλλοιωτὸν διὰ τὸ ἀλλοιοῦσθαι τὰ ἑαυτοῦ, μὴ εἶναι δὲ ἀλλοιουμένην τὴν ὕλην. καὶ τούτου μὲν τοιοῦτος ὁ

ἔλεγχος, ἵνα πολλὴν συστείλωμεν ὁμιλίαν, τὰς προβολὰς αὐτῶν, τὰς μάχας, τὰς μυθοποιΐας ἐκείνας καὶ γιγαντομαχίας σιωπῶντες, ἵνα καὶ τὰ εἰρημένα περὶ τῆς ἀρχῆς τῶν πραγμάτων δίκην ἀφορμῆς τινος εἰρημένα τυγχάνῃ καὶ σπέρμα τῶν ζητήσεων
5 ὑπάρχῃ. ἐξεργασώμεθα δὲ καὶ τὸν περὶ τὸν νόμον, μετρίως εἰ τὸν περὶ τῆς ἀρχῆς κεκινημένοι λόγον. ἀποδέχεσθαι γὰρ νενομίκασι τὸ εὐαγγέλιον, μέμφεσθαι δὲ ἐσπουδάκασι τῷ νόμῳ καὶ τοῖς προφήταις, καὶ πᾶσαν μὲν διαβεβλήκασι τὴν παλαιάν, τιμήσειν δὲ ὑπονενοήκασι τὰ εὐαγγέλια, σχηματιζόμενοι μᾶλλον
10 τὴν τῶν εὐαγγελίων τιμήν, ἵνα τὸν σχηματισμὸν δέλεαρ τῶν ἀπατωμένων λάβωσιν. οὐδὲ γὰρ ἐπειδὴ συντέθεινται τοῖς εὐαγγελίοις, τιμᾶν ὁμολογοῦσι τὰ εὐαγγέλια, ἀλλ' ἐπειδὴ τετίμηται τὸ ὄνομα τοῦ Ἰησοῦ, προσποιοῦνται. ἔδει γὰρ αὐτούς, εἴγε τὰ εὐαγγέλια ἐτίμων, μὴ περιτέμνειν τὰ εὐαγγέλια, μὴ μέρη τῶν
15 εὐαγγελίων ἐξυφελεῖν, μὴ ἕτερα προσθεῖναι, μήτε λόγῳ μήτε ἰδίᾳ γνώμῃ τὰ εὐαγγέλια προσγράφειν. οὐδὲ γλῶσσα ἔχει τὰ εὐαγγέλια ταῦτα καὶ ἀναγνώσει παραπέμπουσι. προσγεγραφήκασι γοῦν ὅσα βεβούληνται καὶ ἐξυφείλαντο ὅσα κεκρίκασι καὶ λοιπὸν ὀνόματι καὶ ἐν τούτῳ ψεύδονται ...... αὕτη γὰρ ἡ μέση καὶ
20 ἀδιάφορος οὐδέποτε καθ' ἑαυτὴν ἔσται, ἀλλ' ἑκατέρου τὴν μίμησιν λαμβάνει καὶ ἐν μεθέξει ὁποτέρου γενήσεται, καὶ ταύτην ἔχει τὴν ἕξιν, δυναμένη ἐν μεθέξει ὁποτέρου εἶναι. καὶ οὐκέτι ἔσται τειχίον ἄρρηκτον καὶ διοριστικόν, τῆς ἐπιχειρήσεως ἑκατέρου κωλυτικόν. μέσον γὰρ ὂν καὶ μετασχηματιζόμενον τῇ
25 ἑνὸς κοινωνίᾳ, προστίθεται τῷ ᾑρηκότι καὶ ἤτοι θεῖον ἂν ἐγένετο, τὸν θεὸν ἀπομιμησάμενον, ἢ κακόν, τὸ κακὸν ἀποτετυπωμένον. εἰ δὲ τοῦτο ἐγίγνετο, οὐκέτι κακία πρὸς ἀρετήν, ἀλλὰ δύο καθ' ἑνὸς ἐχώρουν καὶ τὸ ἕτερον ἐπολιορκεῖτο ὑπὸ δύο πιεζόμενον. ὅπου γὰρ ἡ ῥοπὴ τοῦ μέσου ἐγίγνετο, προσθήκης
30 γινομένης διπλάσιος φανεὶς ὁ λόγος κατὰ τοῦ ἑτέρου τὴν ἐπιχείρησιν ἐργάζεται. εἰ δὲ ἐροῦσιν οὐκέτι τειχίον εἶναι τὸ μέσον καὶ διαιροῦν τὸ γειτνιᾶν τὰς οὐσίας καὶ πλησιάζειν ἑαυταῖς, ἀλλ' εἶναί τι κενὸν καὶ ἀχανὲς μέσον, τῆς διαστάσεως αἴτιον, λέξουσι πάλιν ὃ οὐκ ἴσασι. τί γάρ ἐστιν ἀχανές, τί δὲ ἐστι
35 κενὸν ἢ ἐπίνοια τοῦ κενοῦ καὶ ἀχανοῦς; εἰ μὲν γὰρ ἔστι τι, οὐκ ἔστι κενὸν οὔτε ἀχανές· εἰ δὲ οὐδέν ἐστι καὶ διὰ τοῦτο κενόν ἐστιν, ὅτι οὐδέν ἐστι, καὶ διὰ τοῦτο ἀχανές, ὅτι οὐδ' ὅλως ὑπάρχει, πῶς τὰ μὴ ὄντα ὄντα διαιρεῖ; πῶς τὸ μηδ' ὅλως ὑπάρχον τὰ ὑπάρχοντα καὶ τὰ ὄντα διαστέλλει; τὰ γὰρ μηδαμῇ

μηδαμῶς ὄντα ὑπάρχοντα καὶ ὄντα διακρῖναι οὐ δυνήσεται. καὶ τοιοῦτος μὲν ἠνέχθη ὁ ἔλεγχος. ἐπειδὴ δὲ ἔτι ἐν τῇ πλάνῃ καὶ ἐν τῇ ἀπάτῃ προκόπτοντες ἔτι ἀπατηλότερα καὶ πεπλανημένα ῥήματα προφέρουσι, μὴ σιωπήσωμεν. φασὶ γὰρ ὅτι προϊοῦσα ἡ πονηρία καὶ καθ' ἑαυτῆς χωροῦσα ἑαυτὴν ἠδίκει καὶ 5 ἑαυτὴν ἐλυμαίνετο, ὡς δὲ ἐπέστη τῷ χωρίῳ τῆς ἀληθείας, ἐξεπλάγη, θαῦμα ἔλαβε τοῦ ἐξαπιναίου φωτός, ἐπελάθετο τῆς ἰδίας μάχης, ἐπέθετο τῷ φανέντι, ἥρπασε φῶς, κατέπιε τὸ θεωρηθέν. ἐνταῦθα λοιπὸν πολὺς ὁ γέλως καὶ μεγάλη ἡ χλεύη, ἐνταῦθα πᾶς πεπάτηται μῦθος ἑλληνικός, νικώμενος τούτῳ τῷ 10 σχήματι. λέγονται γὰρ μῦθοι οἱ μῦθοι, ἀλλ' ὡς μῦθοι πιστεύονται· οὗτος δέ, εἰ μὲν ὡς ἐλέγετο μῦθος, ὡς μῦθος ἐπιστεύετο, μικρὰν ἂν εἶχε τὴν ζημίαν, νῦν δὲ νικᾷ μὲν τοὺς μύθους, πιστεύεται δὲ παρὰ τοῖς ἄφροσιν ὡς ἀλήθεια. εἰ γὰρ ὡς μεμηνυῖα, ὡς φατέ, καὶ καθ' ἑαυτὴν ἑαυτὴν πολιορκοῦσα, ἐφθακυῖα 15 εἰς τὰ οἰκεῖα ὅρια, εἶδε φῶς καὶ κατεπλάγη καὶ ἀπηλλάγη τῆς ἰδίας μάχης καὶ ἐπέθετο τῷ φανέντι [καὶ] ἥρπασε τὸ θεωρηθέν, πῶς οὐκ ἀδύνατοι καὶ ψευδεῖς φανήσονται οἱ λόγοι; πῶς γὰρ ἑαυτὴν ἠδίκει ἡ πονηρία, ἑαυτὴν ἀνῄρει, ἑαυτὴν ἠφάνιζεν, ἄρτι μὲν καταπίνουσα, ἄρτι δὲ γεννῶσα, εἴγε ἀγέννητος ἦν; 20 ἐλύετο γὰρ ἑαυτὴν ἀναιροῦσα καὶ εἶναι οὐκέτι ἐδύνατο, ἑαυτὴν διαφθείρουσα. εἰ δὲ τὰ μέρη ἑαυτῆς εἶχε διαφθειρόμενα, ποῖον ἐνέχυρον αὔταρκες ὅτι ὅλη οὐ διαφθείρεται, τῶν μερῶν διαφθείρεσθαι πεφυλακότων; εἰ δὲ καὶ ἑαυτὴν ἐγέννα καὶ εἶναι ἤρχετο, ἀρχομένη δὲ τοῦ εἶναι καὶ γεννητὴ ἦν, πῶς ἔτι ἀγέν- 25 νητος; δι' ὃ οὐκέτι παρ' ἑτέρου τὸν ἔλεγχον τῆς ἀτόπου δόξης αὐτῶν λήψονται, ἀλλ' ἀπὸ τῆς οἰκείας φλυαρίας. πολλὰ γὰρ φθεγγόμενοι ἑαυτοῖς μαχόμενοι φθέγγονται καὶ οὐκέτι ἀναμένουσιν ὑφ' ἑτέρου ἐρυθριᾶν, ἀλλὰ φλυαροῦντες τοῦτο ἀπὸ τῆς οἰκείας προπετείας πάσχουσι. τὸ γὰρ δυνάμενον λύεσθαι καὶ 30 λύσιν ἐπιδεχόμενον καὶ δυνάμενον διαφθείρεσθαι πῶς ἂν εἴη ἀγέννητον; πῶς ἂν εἴη ἀφ' ἑαυτοῦ ὄν; πῶς οὐκ ἀφ' ἑτέρου ἤρξατο; τοῦ μὲν τοιούτου ἀνωλέθρου καὶ ἀπαθοῦς ὑπάρχοντος, τοῦ δὲ δυναμένου ἀφανίζεσθαι καὶ διαφθείρεσθαι οὐκ ἀφ' ἑαυτοῦ ὄντος. εἰ δὲ διαφθείρεται, ὡς φατέ, (τοῦτο γὰρ ὁ ὑμέτερος 35 ὁρίζει λόγος, τὸ καταπίνεσθαι ὁμολογῶν) τὸ εἶναι ἀλλοίωσιν καὶ φθορὰν τὴν κατάποσιν τῶν ...... καλοῦσι τὸ εὐαγγέλιον τὸ σῶμα τοῦ εὐαγγελίου μὴ τετηρηκότες σῶμα, ἀλλ' ἕτερον σῶμα γραμμάτων μέχρι τοῦ ὀνόματος τοῦ εὐαγγελίου φθάνον

πεποιηκότες ταῖς ἰδίαις βουλήσεσι. μεῖζον γὰρ τῶν ἄλλων ἠτιμάκασι τὰ εὐαγγέλια. οἱ μὲν γὰρ οὐ δέχονται καὶ μὴ δεχόμενοι οὐ διαφθείρουσιν, ἀλλὰ μόνον ἀποσείονται, οὐ μὴν καὶ ἐμβατεύουσι τοῖς γράμμασι[ν], οἱ δὲ εἰληφέναι δοκοῦντες ἐνεβά-
5 τευσαν, ἐνεχόρευσαν, ἐνεκαπήλευσαν τοῖς γράμμασι, καὶ γοήτων ἔργα καὶ πονηρῶν δεδράκασιν. ἐκεῖνοι ἠπίστησαν, ψιλῇ τῇ ἀπιστίᾳ κέχρηνται, ἃ μὴ πιστεύουσι φιλολογῆσαι οὐκ ἠνέσχοντο. οὗτοι ἐν μέσῳ γενόμενοι λύειν τὴν ἁρμονίαν ἐπικεχειρήκασι, καταλύειν τὸν ῥυθμὸν τετολμήκασι [τε]τεχνασμένοις μαθήμασιν,
10 ὑπόθεσιν ἀπάτης τὸ ὄνομα τοῦ εὐαγγελίου παρεσκευακότες. εἰ γὰρ ᾔδεισαν τὸ εὐαγγέλιον, οὐκ ἠγνόουν τὸν νόμον· εἰ δὲ ἠγνόησαν τὸν νόμον, πῶς τὸν Ἰησοῦν παρεδέξαντο; δίχα γὰρ νόμου Ἰησοῦς οὐ παραλαμβάνεται. ὁ γὰρ τὸ τέλος ποθῶν τὴν ἀρχὴν περιεργάζεται, ὁ δὲ τῆς ἀρχῆς γινόμενος ὑπερόπτης κενοπαθεῖ,
15 κενολογεῖ, πρὸς τέλος ἄφιξιν οὐκ ἔχει. εἰ δὲ τέλος νόμου χριστός, ματαιοπονοῦσι, νόμου μὲν φυγάδες ὄντες, Ἰησοῦν δὲ εἰδέναι ἐπαγγελ[λ]όμενοι. εἰ μὴ νόμος λαλήσει, ὁ κύριος οὐκ ἐπιγινώσκεται. ἡ γὰρ σιωπὴ τοῦ νόμου ἄγνοια τοῦ κηρυττομένου, ἡ δὲ τοῦ νόμου μάθησις ἐπίγνωσις τοῦ προκαταγγελ[λ]ο-
20 μένου. εἰ γὰρ Μωϋσέως ἤκουον, ἐπίστευον εἰς τὸν παρεληλυθότα. ἀμέλει οὐ πιστεύεται ὁ ἐγηγερμένος, εἰ μὴ πίστιν ὁ νόμος τοῖς ἀκούουσιν ἐμποιήσει. κἂν γάρ τις λέγῃ „πέμψον Λάζαρον ἵνα ἀναγγείλῃ τοῖς ἀδελφοῖς μου μὴ ἐλθεῖν εἰς τὴν ὁδὸν τῆς βασάνου ταύτης“, καὶ λέγοντος Ἀβραὰμ „ἔχουσι Μωσέα καὶ
25 τοὺς προφήτας“ εἴπῃ „ἐὰν μή τις ἐκ νεκρῶν ἀναστῇ, οὐ μὴ πιστεύσωσι“, ἀκούσεται „εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἤκουσαν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, ἀκούσονται“. βαβαί. οὔτε γὰρ ἡ τοῦ ἐγηγερμένου παραγγελία τῇ τοῦ νόμου καὶ τῶν προφητῶν .... ὁ Ἰησοῦς δίχα τῆς συνουσίας αὐτῶν. οὐδὲ τοῖς
30 ἀποστόλοις φαίνεσθαι ἠξίωσε καὶ δυνάμενος ὑπὸ τοῦ πατρὸς μαρτυρεῖσθαι, οὐκ ἠτίμασε τὴν συνουσίαν τῶν ἁγίων, ἀλλὰ ταῖς ὄψεσι τῶν ἀποστόλων πίστιν ἀκριβεστάτην βουλόμενος παρασχέσθαι, ὡς ἀνῆγεν ἐν τῷ ὄρει καὶ μετεμορφοῦτο, ἐδείκνυε Μωϋσέα καὶ Ἡλίαν, ἵνα ἡ συνουσία τῆς ἁγιότητος γένηται μαρ-
35 τυρία καὶ ἵνα ὁ δεχόμενος τὸν Ἰησοῦν τοὺς συνόντας μὴ ἀτιμάσῃ, ἵνα μὴ τοὺς δορυφόρους καὶ ὑπηρέτας εὐτελίζων αὐτὸν ἀτιμάζων ᾖ τὸν βασιλέα. τοσαύτην γοῦν ἐπιμέλειαν τοῦ νόμου καὶ τῶν προφητῶν πεποίηται ὁ σωτὴρ ὡς μηδὲν ἀτελὲς ποιῆσαι τοῦ νόμου, πάντα δὲ ἀνύειν τὰ γεγραμμένα, βοᾶν δὲ „οὐκ ἦλθον

καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι", εἰσιέναι δὲ ἐν τῷ ἱερῷ καὶ τὰς ἀτόπους οἰκονομίας ἐξωθεῖν, ἵνα τὸν οἶκον καθαρὸν ἀποδοὺς πίστιν ἀκριβεστάτην τῷ πράγματι παράσχῃ ὡς οἰκείων καὶ πατρῴων ἐπιμελόμενος πραγμάτων. βοᾷ γὰρ „ὁ οἶκος τοῦ πατρός μου οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ αὐτὸν πεποιή- 5 κατε σπήλαιον λῃστῶν". καὶ ἐπειδὴ μυρία ἐστὶ λόγια δυνάμενα δυσωπεῖν τὴν ἄτοπον ἐκείνων δόξαν, ἡμεῖς, ἵνα μὴ λόγοις πλείοσι χρώμενοι εἰς μῆκος ἐξαγάγωμεν τὸν λόγον, τοῖς μὲν ἄλλοις ἐπιτρέψωμεν ταῖς ἀναλογίαις τῶν ῥημάτων χρῆσθαι, ἡμεῖς δὲ συμμέτρως χρησόμενοι πρὸς αὐτὰς τὰς ἀντιθέσεις τῶν 10 λογίων χωρήσωμεν. τὸ εὐαγγέλιον παραδεχόμενοι τὸν νόμον οὐ παραδέχονται· οὐδὲ γὰρ οὐδὲ ὁλόκληρον τὸ ἅγιον εὐαγγέλιον παραδέχονται. ἢ γὰρ ἂν καὶ τὸν νόμον ἐλάμβανον, εἰ ὁλόκληρον τὸ εὐαγγέλιον ἐδέχοντο. νῦν δὲ πρῶτον τὸ εὐαγγέλιον καπηλεύσαντες εἰκότως τὸν νόμον οὐ παραδέχονται. ἐλέγχονται οὖν 15 διὰ τὸ λελῃστευκέναι τὸ εὐαγγέλιον μὴ ἀνεχόμενοι τοῦ νόμου. εἰ δὲ τὸ εὐαγγέλιον μαρτυρεῖ καὶ οὐ τιμῶσι τὸν νόμον, ἠτιμάκασι τὴν μαρτυρίαν· οὐκέτι γὰρ ἡ ἀτιμία τοῦ νόμου, ἀλλ' ἡ ἀπιστία τοῦ μαρτυροῦντος. καὶ εἰ μὲν ἓν τῶν εὐαγγελίων ἐμαρτύρει, ἕτερον δὲ ἐσιώπα καὶ καθ' ἑνὸς μόνον ἐγίγνετο ἡ ἀτιμία, 20 οὐκ ἂν ἐσιώπα τὰ ἄλλα εὐαγγέλια, κοινὴν ἀτιμίαν τὴν τοῦ ἑνὸς ἀτιμίαν ἡγούμενα. εἰ δὲ Μάρκος λέγει „ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ χριστοῦ καθὼς γέγραπται ἐν Ἡσαΐᾳ τῷ προφήτῃ", ὁ δὲ Ματθαῖος „βίβλος γενέσεως Ἰησοῦ χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ Ἀβραάμ", καὶ ὁ μὲν προπάτορα τῆς κατὰ σάρκα γεννήσεως οἶδε 25 τὸν Ἀβραὰμ καὶ τιμᾷ τὸν Δαυίδ, ὁ δὲ συνάπτει τὸ εὐαγγέλιον τῷ νόμῳ καὶ τοῦ εὐαγγελίου ἀρχὴν τὸν νόμον νενόηκεν, ἀληθεύει ὁ σωτὴρ λέγων „ὁ ὑμᾶς ἀθετῶν ἐμὲ ἀθετεῖ"· οὐκέτι γὰρ μέχρι τοῦ νόμου ἵσταται ἡ ἀτιμία, ἀλλ' ἐπ' αὐτὸν ἀναβαίνει τὸν σωτῆρα. καὶ οἱ μὲν Ἰουδαῖοι ἀκουέτωσαν „εἰ Μωσέως 30 ἠκούετε, ἠκούετε ἂν ἐμοῦ· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν", οἱ δὲ Μανιχαῖοι ἀκουέτωσαν Εἰ τοῦ εὐαγγελίου ἠκούετε, τοῦ νόμου [ἂν] ἠκούετε· περὶ γὰρ τοῦ νόμου τὸ εὐαγγέλιον γεγράφηκεν. ἀλλ' Ἰουδαῖοι μὲν κάλυμμα λαμβάνοντες οὐδὲ τὸν νόμον νενοήκασιν οὐδὲ τὸν καταγγελ[λ]όμενον ἐπέγνωσαν, οἱ δὲ αἱρεσιῶται 35 ὀφθαλμοὺς ἔχουσιν οὐ βλέποντας, ὦτα ἔχουσιν οὐκ ἀκούοντα, διὰ τὸ μὴ παρακύψαι εἰς τὰ εὐαγγέλια τῷ νόμῳ ἐμαχέσαντο· ἰδοὺ γὰρ ὁ μὲν Ἰωάννης βοᾷ „ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης, οὗτος ἦλθεν εἰς μαρτυρίαν,

ἀποταμιεύεται, τὴν βούλησιν τῶν πραττόντων κυρίαν τῶν πραττομένων ἐπίσταται. ἀμέλει τιμῶν τὴν τῶν πράξεων κοινωνίαν ἀνήρτησεν ἐν τῇ θελήσει ὁ λόγος „ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε, ἐὰν δὲ μὴ θέλητε μηδὲ εἰσα-
5 κούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται.“ ἄτοπον δὲ καὶ τὸν περὶ τῶν φαυλοτάτων καταλιπεῖν λόγον καὶ τὴν περὶ τῶν αἰσχίστως καὶ ἐκδεδιῃτημένως ἀναστρεφόντων παραλιπεῖν ἐξέτασιν, μήπως ἡ ἡμῶν σιωπὴ ἀπόνοιαν χαλεπωτάτην αὐτοῖς κατασκευάσῃ. οὐ σφόδρα διαβάλλουσι τὸν Ναβουχοδονόσορ; οὐ σφόδρα μέμφον-
10 ται τὸν Φαραώ; οὐ πέρας αἰσχρότητος αὐτοὺς νενομίκασι; τοιαῦτα γὰρ περὶ τῆς ἐκείνων διαγωγῆς ἄνω καὶ κάτω θρυλοῦσιν. εἰ μὲν οὖν ἐν ταῖς διανοίαις ἐκείνων οὐδεμία σπουδὴ φανείη, λόγος ἂν εἴη ἕτερος· εἰ δὲ ἐν τοῖς οὕτω κακοῖς καὶ μέρη εὑρίσκεται καλῶν καὶ αἰσθήσεις καὶ ἀντιλήψεις καὶ μετάμελος καὶ
15 ἱκεσίαι, τί ἔτι φήσουσιν; εἰ γὰρ οὗτος ὁ πάνυ αἴσχιστος φανείη τινὰ μέρη ἔχων ἀρετῆς καὶ τρόπων ἐπιτηδειότητα, τί ἐροῦσιν; ἢ γὰρ τὸν Σατανᾶν μικτὸν ἐξ ἀρετῆς καὶ κακίας ὡς μικτοὺς καρποὺς ἐνεγκόντα φήσουσιν ἢ τούτους καρποὺς μὴ εἶναι τοῦ διαβόλου. οὐκέτι γὰρ οἱ μικτοὶ τοῦ ἀμίκτου εἶεν ἂν καρποὶ
20 οὔτε ῥίζα τὸ ἄμικτον τοῦ μικτοῦ φανήσεται. οὗτοι δὲ καὶ μικτοὶ ἐφάνησαν, χρόνῳ καὶ τὰς ἐπιστήμας λαβόντες καὶ πονηρίᾳ αἱρεθέντες. καὶ φανήσεται κατὰ τοῦτον τὸν λόγον πλάσμα εἶναι λόγου καὶ μὴ ἀληθείας ὑπόστασις. ἰδοὺ γὰρ ὁ μὲν Φαραὼ ἐν ταῖς ἐπιτιμίαις ἐνδίδωσι καὶ ἁπαλύνεται, ἐνδίδωσι τῇ διανοίᾳ
25 καὶ κατατυφθεὶς τὴν ψυχὴν οὐκ ἐπιμένει τῇ τραχύτητι, ἀλλὰ δύο ποιεῖ — καὶ τὴν εὐχὴν αἰτεῖ καὶ κατηγορεῖ τοῦ γενομένου, καὶ οὐ φαίνεται πηρὸς ἡ ψυχὴ ἀλλ' ἐμβλέπουσα καὶ πρὸς μετάνοιαν χωροῦσα, ἀντιλαμβανομένη δὲ καὶ τῆς αἰτήσεως καὶ ἱκεσίας καὶ λιπαροῦσα εὐχῆς ἕνεκεν. εἰ δὲ ἐπεφύκει κακός, πῶς
30 ἐγνώκει περὶ τῆς εὐχῆς καὶ τῆς μετανοίας; εἰ γὰρ ἡ μετάνοια καλή, καὶ ἡ εὐχὴ καλή· εἰ δὲ ἡ φύσις κακή, πῶς ἐμίγη τὸ κακὸν τῷ καλῷ; πῶς δὲ ἐκ κακοῦ καλὸν προηνέχθη; καὶ φαίνονται μὴ εἰδότες ἃ λέγουσιν, ἀλλὰ ἀπαιδεύτῳ γνώμῃ πτύσματα μᾶλλον ῥημάτων ἢ ῥήματα προφερόμενοι. εἰ δὲ καὶ ὁ Ναβου-
35 χοδονόσορ, καίτοι χαλεπὸς ὢν τὸ ἦθος καὶ τὴν κάμινον εὐτρεπίσας καὶ τὴν εἰκόνα ποιήσας καὶ τῇ ἀπειλῇ φοβῶν καὶ προσκυνεῖν τὸ ἄγαλμα ἀναγκάζων, ὡς οἱ ἅγιοι ἔνδον ἐβάλλοντο καὶ ὑπεχώρει ἡ φλὸξ καὶ τῶν σωμάτων οὐχ ἥπτετο καὶ συναγωγὴ ἡ κάμινος ἐγίνετο καὶ ἀντὶ ὀδυρμῶν ἔνδον ὕμνοι ἐτελοῦντο

καὶ οὐκέτι καιομένης σαρκὸς θρῆνος ἐπέμπετο, ἀλλ' ἐκ πανηγυριζούσης ψυχῆς ᾆσμα ἐτελεῖτο, παρέκυψεν ἰδεῖν τὰ ἔνδον, τετίμηται τῇ τοῦ ἀγγέλου θεωρίᾳ, ἀφῆκε φωνὴν „οὐχὶ τρεῖς ἄνδρας ἐνεβάλομεν εἰς τὴν κάμινον; ἰδοὺ τέσσαρας ὁρῶ καὶ τὸν τέταρτον ὡς ὅμοιον υἱῷ θεοῦ." εὐθέως γοῦν γράφει ὑπὲρ τού- 5 του νόμον ὁμολογεῖν τὸν θεόν, μαρτυρεῖν τὴν ἀλήθειαν· ἐξηγητὴς τῆς ὁράσεως γίνεται. διαβάλλομεν οὖν τὰς ἐξηγήσεις ἢ ἐπαινέσομεν; καλὸν τὸ πρεσβεύειν ὑπὲρ χριστοῦ. ἢ ἐν πονηρῷ μέρει αὐτὸ ἐῶμεν; εἰ μὲν γὰρ τὸ πρεσβεύειν τὰ θεῖα λόγια καὶ μάρτυρας εἶναι τῆς ἀληθείας καλόν, ἐπρέσβευσε δὲ καὶ Ναβου- 10 χοδονόσορ καὶ ἔγραψε καὶ εἰς πᾶσαν τὴν ἀρχὴν αὐτοῦ ἔπεμψε, λέλυται ἡ φύσις. ἐπιστάμενος γὰρ τὸ καλόν, πρὸς τὴν μάθησιν ἔβλεψε τοῦ καλοῦ. εἰ δὲ ἤμβλυνε τὴν μάθησιν τῇ πρὸς τὴν πονηρίαν διαθέσει, κατηγορεῖται. ἕτερον γὰρ τὸ ὅλως μὴ δύνασθαι ποιεῖν τὸ καλόν, ἕτερον δὲ τὸ εἰδέναι μέν, μὴ δύνα- 15 σθαι δὲ τῇ πρὸς τὰ πάθη ῥοπῇ ἡττώμενον. ἐπειδὴ δὲ ἐν ἀνθρώποις καρποὶ τοῦ διαβόλου οὐχ εὑρέθησαν καὶ ἐδυσωπεῖτο αὐτῶν ὁ τρόπος καὶ ἠλέγχθη αὐτῶν ἡ ἀτοπία, ποῦ λοιπὸν τραπῶμεν; εἰ μὴ ἄρα πρὸς τοὺς δαίμονας βαδίσομεν, εἴ γε μὴ ἄρα φήσουσιν „ἀνθρώπων μὲν οὐδεὶς καρπὸς τοῦ δια- 20 βόλου, δαίμονες δὲ γόνοι καὶ τοκετὸς μόνοι αὐτοῦ". καὶ ταῦτα λέγοντες δυσωπηθήσονται μὲν καὶ ἐν τούτῳ, πρῶτον δὲ ἀκουέτωσαν. εἰ οὐδεὶς ἄνθρωπος τέως τοῦ ἑνὸς ἀπολέλυται, οὐδὲν οὖν κοινὸν τῷ Σατανᾷ καὶ τῷ βίῳ τούτῳ, ἀλλὰ πάντων ἀπήλλακται, πάντων γέγονε ξένος, ἐκβέβληται καταπεπομένος καὶ 25 ἔστιν ἁλωτὴ καὶ λυτὴ καὶ λυομένη καὶ ἀναλισκομένη, οὐκέτι τὰ τῶν μὴ ἀφανιζομένων ὑποστήσεται, μὴ ἔχουσα δὲ τὴν φύσιν ἀβλαβῆ καὶ ἀνώλεθρον, οὐκέτι ἀγένητος ὑποπτευθήσεται, μὴ οὖσα δὲ ἀγένητος, οὔτε ἄναρχος οὔτε ἀτελεύτητος φανήσεται ἡ κακία, ἄλλοτε μὲν οὐκ οὖσα, ἄρτι δὲ δοκοῦσα ἐμβομβεῖν. 30 καὶ γὰρ ὅ ἐστιν οὐκ οὐσία ἐστίν, ἀλλὰ νόσημά τι συμβεβηκὸς περὶ τὰς οὐσίας, δυνάμενον τῶν οὐσιῶν καὶ τῶν ὑποστάσεων χωρισθῆναι. ὅτι γὰρ αὐτὸς ὁ ἀπατεὼν ὅπερ ἐστὶ κατὰ πτῶσιν καὶ κατ' ὄλεθρον τυγχάνει, τῆς πτώσεως καὶ τοῦ ὀλίσθου μαρτυροῦντος τῇ ὑπεξαιρέσει τῶν προϋπηργμένων καλῶν, μαρτυρεῖ 35 μὲν Ἡσαΐας ὁ προφήτης „πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος, πρωῒ ἀνατέλλων," τὴν μὲν τοιάνδε αὐτοῦ κατάστασιν ἔκπτωτον εἰδώς, τὴν δὲ παλαιὰν θείαν καὶ διαυγεστάτην τυγχάνουσαν — μαρτυρεῖ δὲ καὶ ὁ σωτήρ, ἐν τῷ εὐαγγελίῳ λέγων „ἰδοὺ ὁρῶ

τὸν Σατανᾶν ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ οὐρανοῦ.“ εἰ δὲ οὕτως ἐπεφύκει καὶ οὕτως ἦν, οὐκ ἂν πῇ μὲν πτῶσις, πῇ δὲ ἔκπτωσις ἐκαλεῖτο. τὸ γὰρ πῖπτον ἀπὸ τινὸς στάσεως πίπτει, τὸ δὲ ἐκπῖπτον ἀπὸ τινὸς περιουσίας ἐκβαίνει. εἰ δὲ ἐν πεσοῦσι 5 λέγεται, ἦν ποτε ἐν στάσει καὶ ἑδραιότητι τυγχάνων. εἰ δὲ καὶ ἐν τοῖς ἐκπεπτωκόσι κατηγορεῖται, οὐ πένης ἦν, οὐκ Ἶρος ἦν ποτε, ὅτε πολλὴν περιουσίαν εἶχεν, ἀλλὰ διά τινα νόσον στέρησιν ἐκείνης τῆς περιουσίας ὑπομείνας ἐν πεπτωκόσι κρίνεται. ἀμέλει καὶ τὴν περιουσίαν ἡ γραφὴ ὁμολογεῖ. εἰ γὰρ „πῶς 10 ἐξέπεσεν ὁ ἑωσφόρος“ καὶ περιουσία ἦν τὸ ὄνομα καὶ ἑωσφόρος ὢν αὐτὴν τὴν τοῦ ἑωσφόρου ἐνέργειαν καὶ δύναμιν καὶ περιουσίαν καὶ κτῆσιν εἶχε καὶ ταύτης ἐκπεσὼν ταύτης γέγονε κενός, πενητεύει μὲν ἐν τῇ περιουσίᾳ τοῦ ἑωσφόρου, ἀλητεύει δὲ καὶ κινδυνεύει, Ἶρος ὢν καὶ ἔκπτωτος, ὁ πάλαι πολλὴν περιουσίαν 15 ἔχων. εἰ δὲ κατὰ τὸ εὐαγγέλιον τῶν πιπτόντων ἐστὶ καὶ χαμαὶ κειμένων καὶ κυλινδουμένων λοιπὸν ἐν τῷ ἐδάφει, εἱστήκει ποτὲ καὶ ἠδύνατο λέγειν „ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ“, ἠδύνατο ἀκούειν „στῆτε περιζωσάμενοι τὰς ὀσφύας ὑμῶν ἐν ἀληθείᾳ“, καὶ δυνάμενος τοῦ ἀκούειν 20 οὐκ ἠσφαλίσατο τὸ εἰρημένον λόγιον „ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ“, καὶ μηδεμίαν πρὸς τὸ τοιοῦτον πεποιημένος ἀσφάλειαν ἐν τοῖς τοιούτοις σήμερον κυλινδεῖται. τὸ γὰρ ἀεὶ χαμαὶ κείμενον οὐκ ἂν πέσῃ (κεῖται γὰρ χαμαί), τὸ δὲ πεπτωκὸς καὶ χαμαὶ γεγονὸς ἀπὸ ἑστηκότων καὶ ἐρ[ηρ]εισμένων παρέλκον ἐπὶ 25 τὸ πεσεῖν ἐλεύσεται, καὶ τὸ ἀεὶ πενητεῦον καὶ οὐδέποτε εἰληφὸς οὐδεμίαν περιουσίαν οὐδέποτε ἐκπεσεῖται· ἀεὶ γὰρ οὐδὲν ἔχει καὶ οὐ δύναται ἐκπεσεῖν, οὐδὲν οὐδέποτε ἐσχηκός. τὸ δὲ ἔκπτωσιν ὑπομεῖναν καὶ πεπονθὸς ἀπὸ πολλῆς περιουσίας καὶ ὑπάρξεως τυγχάνει. καὶ τοιοῦτος μὲν ὁ πρῶτος ἔλεγχος. ἀλλ' ἐπειδὴ 30 (φασίν) ἔτι προϊοῦσα ἡ κακία καὶ ἑαυτὴν κατατείνουσα καὶ γενομένη πρὸς τῷ φωτὶ ἥρπασεν ἀπὸ τοῦ φωτὸς καὶ κατέπιεν ἀπὸ τοῦ φωτός, φέρε τὴν πρεσβείαν, ἣν ὑπὲρ τοῦ πονηροῦ πεποίηνται κατὰ τῆς ἀληθείας, καταλῦσαι μὴ παραιτησώμεθα. ἐπαίρουσι γὰρ τῷ λόγῳ τούτῳ τὴν πονηρίαν, εὐτελίζουσι δὲ τὴν 35 ἀλήθειαν, καὶ νεῦρα μὲν διδόασι τῇ πονηρίᾳ, ἄνευρον δὲ τὴν ἀλήθειαν ὑποτίθενται. εἰ γὰρ ἡ μὲν πονηρία ἥρπασε, τὸ δὲ φῶς ἥρπασται καὶ ἁρπαζόμενον ἔπασχε καὶ πάσχον παθητὸν ἦν, παθητὸς μὲν κατ' αὐτοὺς ὁ θεός, ἀπαθὴς δὲ ὁ Σατανᾶς, ὁ μὲν δυνάμενος παθεῖν, ὁ δὲ δυνάμενος δρᾶσαι. τοῦ γὰρ φωτὸς

ὄντος παθητοῦ καὶ αὐτὸς ἂν εἴη παθητός, οὐχ ἕτερος ὢν παρὰ τὸ φῶς, εἴγε ἠδυνήθη παθεῖν καὶ παθεῖν μὴ ἀφ' ἑαυτοῦ, ἀλλ' ὑπὸ τοῦ πολεμίου καὶ μαχομένου, καὶ ἀποστῆναι μὲν ἑαυτοῦ, γενέσθαι δὲ πρὸς τῷ χείρονι. πῶς δὲ καὶ τῶν ἰδίων κεχώρισται ὁ τὴν ἑνωτικὴν φύσιν ἔχων; τὰ γὰρ κατὰ φύσιν 5 πεφυκότα χωρίζεσθαι ἑαυτῶν οὐ πέφυκεν. εἰ δὲ ἀγένητον ἦν τὸ φῶς καὶ ἥνωτο τῷ ἀγενήτῳ, πῶς ποτε χωρισθῆναι δεδύνηται; πῶς δὲ ἀπαλλαγῆναι ἑαυτοῦ καὶ γενέσθαι ἕτερον παρ' ἑαυτό; εἰ γὰρ ὑπηρέτησε πονηρῷ καὶ βεβιασμένον ὑπὸ τῆς πονηρίας λοιπὸν τὰ πονηρίας ᾑρεῖτο καὶ ἔπραττε τὰ πονηρίας καὶ ἠγνόει 10 μὲν ἑαυτὸ καὶ οὐκέτι ἑαυτὸ ἐγνώριζεν, ἀλλ' ἐπιλῆσμον ἑαυτοῦ ἐγεγόνει, ᾤετο δὲ ἑαυτὸ τοιοῦτον εἶναι οἷόν ἐστι καὶ τὸ πονηρόν, μαχόμενος φανήσεται ὁ λόγος. τὸ γὰρ ἀγένητον οὔτε ἑαυτὸ ἀγνοεῖ οὔτε ἔσται ἕτερον παρ' ἑαυτό, ἀλλὰ τοιοῦτον διαμένει οἷον ἦν καὶ οὐδέποτε ἑαυτοῦ ἀπαλλαγήσεται, οὐδέποτε τοῦ εἶναι 15 ἀρξάμενον. ἀλλ' ἐπειδὴ γραώδη καὶ μυθώδη φθέγγονται, οὔτε ἃ λέγουσιν εἰδότες, ἀλλ' ἀφ' ὧν λέγουσι δυσωπούμενοι, καὶ τοῦτο προ[σ]γράψωμεν τῷ λόγῳ. ἠδύνατο τὸ φῶς ἀμειφθῆναι καὶ ἕτερον παρ' ἑαυτὸ γενέσθαι καὶ γενέσθαι πρὸς τῇ πονηρίᾳ καὶ ἑαυτοῦ μὲν ἐπιλαθέσθαι, ποιῆσαι δὲ ὅσα ἡ πονηρία ποιεῖ· ἠδύ- 20 ναντο καὶ οἱ τῆς πονηρίας ἄρχοντες τοῦτο παθεῖν καὶ μᾶλλον μεταβάλλεσθαι ἐπὶ τὸ καλόν· ἰσχυούσης δὲ τῆς μεταβολῆς καὶ δυναμένης τῆς ἀλ[λ]οιώσεως, πῶς οὐκ ἄμεινον ἦν τοῖς κακοῖς μᾶλλον ἐπὶ τὴν ἀρετὴν μεταβληθῆναι ἢ τοῖς καλοῖς ἐπὶ τὴν κακίαν; πῶς δὲ καὶ ἠνέσχετο ὁ θεὸς καὶ ληφθῆναι τὸ φῶς ἐπέ- 25 τρεψε; πῶς οὐ κεκώλυκε τὴν ὁρμήν; πῶς τὰ ἴδια οὐκ ἐτήρησε; πῶς δὲ μετὰ τὸ ἀφαιρεθῆναι πρόνοιαν τῶν ἀφαιρεθέντων ποιήσασθαι οὐ βεβούληται; πῶς οὐ προλαβὼν ἐπέσχε τὴν ἐπιχείρησιν; πῶς μᾶλλον ἀνάλωτα οὐ τετήρηκεν, ἀλλὰ ἁλόντα καὶ ληφθέντα βοηθείᾳ οὐ τετίμηκεν; εἰ μὲν εἴασεν ἵνα τὸ φῶς γενόμενον ἐν τοῖς κακοῖς 30 μεταβάλῃ τὰ κακά, ὡς δυναμένων μεταβάλλεσθαι τῶν κακῶν, οὐκέτι τὰ κακὰ φυσικά, δυνάμενα μεταβάλλεσθαι, ἀπὸ τῶν κακῶν ἐνέχυρον τὴν μεταβολὴν κατὰ τῆς φύσεως λαμβάνει. εἰ δὲ ἠπίστατο ὅτι οὐ μετεβάλλετο καὶ ὅτι οὐ πέφυκεν ἀλλοιοῦσθαι, πῶς μάτην εἴασε ζημίαν μὲν ὑπομεῖναι τὸ καλόν, κέρδος δὲ μὴ ἀπονεῖμαι τῷ 35 κακῷ; πῶς δὲ αὐτὰ μὲν τὰ κακὰ οὐκ ἀλλοιοῦσθαι οἶδεν, ἑαυτὸν δὲ καὶ τὰ ἑαυτοῦ καλὰ ἀλλοιούμενα παρεῖδεν; ἄτοπος γὰρ ὅρος οὗτος αὐτὸν μὲν εἶναι ἀλλοιωτὸν διὰ τὸ ἀλλοιοῦσθαι τὰ ἑαυτοῦ, μὴ εἶναι δὲ ἀλλοιουμένην τὴν ὕλην. καὶ τούτου μὲν τοιοῦτος ὁ

ἔλεγχος, ἵνα πολλὴν συστείλωμεν ὁμιλίαν, τὰς προβολὰς αὐτῶν,
τὰς μάχας, τὰς μυθοποιΐας ἐκείνας καὶ γιγαντομαχίας σιωπῶντες,
ἵνα καὶ τὰ εἰρημένα περὶ τῆς ἀρχῆς τῶν πραγμάτων δίκην
ἀφορμῆς τινος εἰρημένα τυγχάνῃ καὶ σπέρμα τῶν ζητήσεων
5 ὑπάρχῃ. ἐξεργασώμεθα δὲ καὶ τὸν περὶ τὸν νόμον, μετρίως
εἰ τὸν περὶ τῆς ἀρχῆς κεκινημένοι λόγον. ἀποδέχεσθαι γὰρ
νενομίκασι τὸ εὐαγγέλιον, μέμφεσθαι δὲ ἐσπουδάκασι τῷ νόμῳ
καὶ τοῖς προφήταις, καὶ πᾶσαν μὲν διαβεβλήκασι τὴν παλαιάν,
τιμήσειν δὲ ὑπονενοήκασι τὰ εὐαγγέλια, σχηματιζόμενοι μᾶλλον
10 τὴν τῶν εὐαγγελίων τιμήν, ἵνα τὸν σχηματισμὸν δέλεαρ τῶν
ἀπατωμένων λάβωσιν. οὐδὲ γὰρ ἐπειδὴ συντέθεινται τοῖς εὐ-
αγγελίοις, τιμᾶν ὁμολογοῦσι τὰ εὐαγγέλια, ἀλλ' ἐπειδὴ τετίμηται
τὸ ὄνομα τοῦ Ἰησοῦ, προσποιοῦνται. ἔδει γὰρ αὐτούς, εἴγε τὰ
εὐαγγέλια ἐτίμων, μὴ περιτέμνειν τὰ εὐαγγέλια, μὴ μέρη τῶν
15 εὐαγγελίων ἐξυφελεῖν, μὴ ἕτερα προσθεῖναι, μήτε λόγῳ μήτε
ἰδίᾳ γνώμῃ τὰ εὐαγγέλια προσγράφειν. οὐδὲ γλῶσσα ἔχει τὰ
εὐαγγέλια ταῦτα καὶ ἀναγνώσει παραπέμπουσι. προσγεγραφήκασι
γοῦν ὅσα βεβούληνται καὶ ἐξυφείλαντο ὅσα κεκρίκασι καὶ λοιπὸν
ὀνόματι καὶ ἐν τούτῳ ψεύδονται ...... αὕτη γὰρ ἡ μέση καὶ
20 ἀδιάφορος οὐδέποτε καθ' ἑαυτὴν ἔσται, ἀλλ' ἑκατέρου τὴν μί-
μησιν λαμβάνει καὶ ἐν μεθέξει ὁποτέρου γενήσεται, καὶ ταύτην
ἔχει τὴν ἕξιν, δυναμένη ἐν μεθέξει ὁποτέρου εἶναι. καὶ οὐκέτι
ἔσται τειχίον ἄρρηκτον καὶ διοριστικόν, τῆς ἐπιχειρήσεως ἑκα-
τέρου κωλυτικόν. μέσον γὰρ ὂν καὶ μετασχηματιζόμενον τῇ
25 ἑνὸς κοινωνίᾳ, προστίθεται τῷ ᾑρηκότι καὶ ἤτοι θεῖον ἂν ἐγέ-
νετο, τὸν θεὸν ἀπομιμησάμενον, ἢ κακόν, τὸ κακὸν ἀποτετυ-
πωμένον. εἰ δὲ τοῦτο ἐγίγνετο, οὐκέτι κακία πρὸς ἀρετήν, ἀλλὰ
δύο καθ' ἑνὸς ἐχώρουν καὶ τὸ ἕτερον ἐπολιορκεῖτο ὑπὸ δύο
πιεζόμενον. ὅπου γὰρ ἡ ῥοπὴ τοῦ μέσου ἐγίγνετο, προσθήκης
30 γινομένης διπλάσιος φανεὶς ὁ λόγος κατὰ τοῦ ἑτέρου τὴν ἐπι-
χείρησιν ἐργάζεται. εἰ δὲ ἐροῦσιν οὐκέτι τειχίον εἶναι τὸ μέσον
καὶ διαιροῦν τὸ γειτνιᾶν τὰς οὐσίας καὶ πλησιάζειν ἑαυταῖς,
ἀλλ' εἶναί τι κενὸν καὶ ἀχανὲς μέσον, τῆς διαστάσεως αἴτιον,
λέξουσι πάλιν ὃ οὐκ ἴσασι. τί γὰρ ἔστιν ἀχανές, τί δὲ ἔστι
35 κενὸν ἢ ἐπίνοια τοῦ κενοῦ καὶ ἀχανοῦς; εἰ μὲν γὰρ ἔστι τι,
οὐκ ἔστι κενὸν οὔτε ἀχανές· εἰ δὲ οὐδέν ἐστι καὶ διὰ τοῦτο
κενόν ἐστιν, ὅτι οὐδέν ἐστι, καὶ διὰ τοῦτο ἀχανές, ὅτι οὐδ'
ὅλως ὑπάρχει, πῶς τὰ μὴ ὄντα ὄντα διαιρεῖ; πῶς τὸ μηδ' ὅλως
ὑπάρχον τὰ ὑπάρχοντα καὶ τὰ ὄντα διαστέλλει; τὰ γὰρ μηδαμῇ

μηδαμῶς ὄντα ὑπάρχοντα καὶ ὄντα διακρῖναι οὐ δυνήσεται.
καὶ τοιοῦτος μὲν ἠνέχθη ὁ ἔλεγχος. ἐπειδὴ δὲ ἔτι ἐν τῇ πλάνῃ
καὶ ἐν τῇ ἀπάτῃ προκόπτοντες ἔτι ἀπατηλότερα καὶ πεπλανη-
μένα ῥήματα προφέρουσι, μὴ σιωπήσωμεν. φασὶ γὰρ ὅτι προ-
ϊοῦσα ἡ πονηρία καὶ καθ' ἑαυτῆς χωροῦσα ἑαυτὴν ἠδίκει καὶ 5
ἑαυτὴν ἐλυμαίνετο, ὡς δὲ ἐπέστη τῷ χωρίῳ τῆς ἀληθείας,
ἐξεπλάγη, θαῦμα ἔλαβε τοῦ ἐξαπιναίου φωτός, ἐπελάθετο τῆς
ἰδίας μάχης, ἐπέθετο τῷ φανέντι, ἥρπασε φῶς, κατέπιε τὸ θεω-
ρηθέν. ἐνταῦθα λοιπὸν πολὺς ὁ γέλως καὶ μεγάλη ἡ χλεύη,
ἐνταῦθα πᾶς πεπάτηται μῦθος ἑλληνικός, νικώμενος τούτῳ τῷ 10
σχήματι. λέγονται γὰρ μῦθοι οἱ μῦθοι, ἀλλ' ὡς μῦθοι πιστεύ-
ονται· οὗτος δέ, εἰ μὲν ὡς ἐλέγετο μῦθος, ὡς μῦθος ἐπιστεύετο,
μικρὰν ἂν εἶχε τὴν ζημίαν, νῦν δὲ νικᾷ μὲν τοὺς μύθους,
πιστεύεται δὲ παρὰ τοῖς ἄφροσιν ὡς ἀλήθεια. εἰ γὰρ ὡς μεμη-
νυῖα, ὡς φατέ, καὶ καθ' ἑαυτὴν ἑαυτὴν πολιορκοῦσα, ἐφθακυῖα 15
εἰς τὰ οἰκεῖα ὅρια, εἶδε φῶς καὶ κατεπλάγη καὶ ἀπηλλάγη τῆς
ἰδίας μάχης καὶ ἐπέθετο τῷ φανέντι [καὶ] ἥρπασε τὸ θεωρηθέν,
πῶς οὐκ ἀδύνατοι καὶ ψευδεῖς φανήσονται οἱ λόγοι; πῶς γὰρ
ἑαυτὴν ἠδίκει ἡ πονηρία, ἑαυτὴν ἀνῄρει, ἑαυτὴν ἠφάνιζεν,
ἄρτι μὲν καταπίνουσα, ἄρτι δὲ γεννῶσα, εἴγε ἀγένητος ἦν; 20
ἐλύετο γὰρ ἑαυτὴν ἀναιροῦσα καὶ εἶναι οὐκέτι ἐδύνατο, ἑαυτὴν
διαφθείρουσα. εἰ δὲ τὰ μέρη ἑαυτῆς εἶχε διαφθειρόμενα, ποῖον
ἐνέχυρον αὔταρκες ὅτι ὅλη οὐ διαφθείρεται, τῶν μερῶν δια-
φθείρεσθαι πεφυλακότων; εἰ δὲ καὶ ἑαυτὴν ἐγέννα καὶ εἶναι
ἤρχετο, ἀρχομένη δὲ τοῦ εἶναι καὶ γεννητὴ ἦν, πῶς ἔτι ἀγέ- 25
νητος; δι' ὃ οὐκέτι παρ' ἑτέρου τὸν ἔλεγχον τῆς ἀτόπου δόξης
αὐτῶν λήψονται, ἀλλ' ἀπὸ τῆς οἰκείας φλυαρίας. πολλὰ γὰρ
φθεγγόμενοι ἑαυτοῖς μαχόμενοι φθέγγονται καὶ οὐκέτι ἀναμέ-
νουσιν ὑφ' ἑτέρου ἐρυθριᾶν, ἀλλὰ φλυαροῦντες τοῦτο ἀπὸ τῆς
οἰκείας προπετείας πάσχουσι. τὸ γὰρ δυνάμενον λύεσθαι καὶ 30
λύσιν ἐπιδεχόμενον καὶ δυνάμενον διαφθείρεσθαι πῶς ἂν εἴη
ἀγένητον; πῶς ἂν εἴη ἀφ' ἑαυτοῦ ὄν; πῶς οὐκ ἀφ' ἑτέρου
ἤρξατο; τοῦ μὲν τοιούτου ἀνωλέθρου καὶ ἀπαθοῦς ὑπάρχοντος,
τοῦ δὲ δυναμένου ἀφανίζεσθαι καὶ διαφθείρεσθαι οὐκ ἀφ' ἑαυ-
τοῦ ὄντος. εἰ δὲ διαφθείρεται, ὡς φατέ, (τοῦτο γὰρ ὁ ὑμέτερος 35
ὁρίζει λόγος, τὸ καταπίνεσθαι ὁμολογῶν) τὸ εἶναι ἀλλοίωσιν
καὶ φθορὰν τὴν κατάποσιν τῶν ...... καλοῦσι τὸ εὐαγγέλιον
τὸ σῶμα τοῦ εὐαγγελίου μὴ τετηρηκότες σῶμα, ἀλλ' ἕτερον
σῶμα γραμμάτων μέχρι τοῦ ὀνόματος τοῦ εὐαγγελίου φθάνον

πεποιηκότες ταῖς ἰδίαις βουλήσεσι. μεῖζον γὰρ τῶν ἄλλων ἠτιμάκασι τὰ εὐαγγέλια. οἱ μὲν γὰρ οὐ δέχονται καὶ μὴ δεχόμενοι οὐ διαφθείρουσιν, ἀλλὰ μόνον ἀποσείονται, οὐ μὴν καὶ ἐμβατεύουσι τοῖς γράμμασι[ν], οἱ δὲ εἰληφέναι δοκοῦντες ἐνεβά-
5 τευσαν, ἐνεχόρευσαν, ἐνεκαπήλευσαν τοῖς γράμμασι, καὶ γοήτων ἔργα καὶ πονηρῶν δεδράκασιν. ἐκεῖνοι ἠπίστησαν, ψιλῇ τῇ ἀπιστίᾳ κέχρηνται, ἃ μὴ πιστεύουσι φιλολογῆσαι οὐκ ἠνέσχοντο. οὗτοι ἐν μέσῳ γενόμενοι λύειν τὴν ἁρμονίαν ἐπικεχειρήκασι, καταλύειν τὸν ῥυθμὸν τετολμήκασι [τε]τεχνασμένοις μαθήμασιν,
10 ὑπόθεσιν ἀπάτης τὸ ὄνομα τοῦ εὐαγγελίου παρεσκευακότες. εἰ γὰρ ᾔδεισαν τὸ εὐαγγέλιον, οὐκ ἠγνόουν τὸν νόμον· εἰ δὲ ἠγνόησαν τὸν νόμον, πῶς τὸν Ἰησοῦν παρεδέξαντο; δίχα γὰρ νόμου Ἰησοῦς οὐ παραλαμβάνεται. ὁ γὰρ τὸ τέλος ποθῶν τὴν ἀρχὴν περιεργάζεται, ὁ δὲ τῆς ἀρχῆς γινόμενος ὑπερόπτης κενοπαθεῖ,
15 κενολογεῖ, πρὸς τέλος ἄφιξιν οὐκ ἔχει. εἰ δὲ τέλος νόμου χριστός, ματαιοπονοῦσι, νόμου μὲν φυγάδες ὄντες, Ἰησοῦν δὲ εἰδέναι ἐπαγγελ[λ]όμενοι. εἰ μὴ νόμος λαλήσει, ὁ κύριος οὐκ ἐπιγινώσκεται. ἡ γὰρ σιωπὴ τοῦ νόμου ἄγνοια τοῦ κηρυττομένου, ἡ δὲ τοῦ νόμου μάθησις ἐπίγνωσις τοῦ προκάταγγελ[λ]ο-
20 μένου. εἰ γὰρ Μωϋσέως ἤκουον, ἐπίστευον εἰς τὸν παρεληλυθότα. ἀμέλει οὐ πιστεύεται ὁ ἐγηγερμένος, εἰ μὴ πίστιν ὁ νόμος τοῖς ἀκούουσιν ἐμποιήσει. κἂν γάρ τις λέγῃ „πέμψον Λάζαρον ἵνα ἀναγγείλῃ τοῖς ἀδελφοῖς μου μὴ ἐλθεῖν εἰς τὴν ὁδὸν τῆς βασάνου ταύτης", καὶ λέγοντος Ἀβραὰμ „ἔχουσι Μωσέα καὶ
25 τοὺς προφήτας" εἴπῃ „ἐὰν μή τις ἐκ νεκρῶν ἀναστῇ, οὐ μὴ πιστεύσωσι", ἀκούσεται „εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἤκουσαν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, ἀκούσονται". βαβαί. οὔτε γὰρ ἡ τοῦ ἐγηγερμένου παραγγελία τῇ τοῦ νόμου καὶ τῶν προφητῶν .... ὁ Ἰησοῦς δίχα τῆς συνουσίας αὐτῶν. οὐδὲ τοῖς
30 ἀποστόλοις φαίνεσθαι ἠξίωσε καὶ δυνάμενος ὑπὸ τοῦ πατρὸς μαρτυρεῖσθαι, οὐκ ἠτίμασε τὴν συνουσίαν τῶν ἁγίων, ἀλλὰ ταῖς ὄψεσι τῶν ἀποστόλων πίστιν ἀκριβεστάτην βουλόμενος παρασχέσθαι, ὡς ἀνῆγεν ἐν τῷ ὄρει καὶ μετεμορφοῦτο, ἐδείκνυε Μωϋσέα καὶ Ἡλίαν, ἵνα ἡ συνουσία τῆς ἁγιότητος γένηται μαρ-
35 τυρία καὶ ἵνα ὁ δεχόμενος τὸν Ἰησοῦν τοὺς συνόντας μὴ ἀτιμάσῃ, ἵνα μὴ τοὺς δορυφόρους καὶ ὑπηρέτας εὐτελίζων αὐτὸν ἀτιμάζων ᾖ τὸν βασιλέα. τοσαύτην γοῦν ἐπιμέλειαν τοῦ νόμου καὶ τῶν προφητῶν πεποίηται ὁ σωτὴρ ὡς μηδὲν ἀτελὲς ποιῆσαι τοῦ νόμου, πάντα δὲ ἀνύειν τὰ γεγραμμένα, βοᾶν δὲ „οὐκ ἦλθον

καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι", εἰσιέναι δὲ ἐν τῷ ἱερῷ
καὶ τὰς ἀτόπους οἰκονομίας ἐξωθεῖν, ἵνα τὸν οἶκον καθαρὸν
ἀποδοὺς πίστιν ἀκριβεστάτην τῷ πράγματι παράσχῃ ὡς οἰκείων
καὶ πατρῴων ἐπιμελόμενος πραγμάτων. βοᾷ γὰρ „ὁ οἶκος τοῦ
πατρός μου οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ αὐτὸν πεποιή- 5
κατε σπήλαιον λῃστῶν". καὶ ἐπειδὴ μυρία ἐστὶ λόγια δυνάμενα
δυσωπεῖν τὴν ἄτοπον ἐκείνων δόξαν, ἡμεῖς, ἵνα μὴ λόγοις
πλείοσι χρώμενοι εἰς μῆκος ἐξαγάγωμεν τὸν λόγον, τοῖς μὲν
ἄλλοις ἐπιτρέψωμεν ταῖς ἀναλογίαις τῶν ῥημάτων χρῆσθαι,
ἡμεῖς δὲ συμμέτρως χρησόμενοι πρὸς αὐτὰς τὰς ἀντιθέσεις τῶν 10
λογίων χωρήσωμεν. τὸ εὐαγγέλιον παραδεχόμενοι τὸν νόμον
οὐ παραδέχονται· οὐδὲ γὰρ οὐδὲ ὁλόκληρον τὸ ἅγιον εὐαγγέλιον
παραδέχονται. ἢ γὰρ ἂν καὶ τὸν νόμον ἐλάμβανον, εἰ ὁλόκληρον
τὸ εὐαγγέλιον ἐδέχοντο. νῦν δὲ πρῶτον τὸ εὐαγγέλιον καπη-
λεύσαντες εἰκότως τὸν νόμον οὐ παραδέχονται. ἐλέγχονται οὖν 15
διὰ τὸ λελῃστευκέναι τὸ εὐαγγέλιον μὴ ἀνεχόμενοι τοῦ νόμου.
εἰ δὲ τὸ εὐαγγέλιον μαρτυρεῖ καὶ οὐ τιμῶσι τὸν νόμον, ἠτιμά-
κασι τὴν μαρτυρίαν· οὐκέτι γὰρ ἡ ἀτιμία τοῦ νόμου, ἀλλ' ἡ
ἀπιστία τοῦ μαρτυροῦντος. καὶ εἰ μὲν ἓν τῶν εὐαγγελίων ἐμαρ-
τύρει, ἕτερον δὲ ἐσιώπα καὶ καθ' ἑνὸς μόνον ἐγίγνετο ἡ ἀτιμία, 20
οὐκ ἂν ἐσιώπα τὰ ἄλλα εὐαγγέλια, κοινὴν ἀτιμίαν τὴν τοῦ ἑνὸς
ἀτιμίαν ἡγούμενα. εἰ δὲ Μάρκος λέγει „ἀρχὴ τοῦ εὐαγγελίου
Ἰησοῦ χριστοῦ καθὼς γέγραπται ἐν Ἡσαΐᾳ τῷ προφήτῃ", ὁ δὲ
Ματθαῖος „βίβλος γενέσεως Ἰησοῦ χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ
Ἀβραάμ", καὶ ὁ μὲν προπάτορα τῆς κατὰ σάρκα γεννήσεως οἶδε 25
τὸν Ἀβραὰμ καὶ τιμᾷ τὸν Δαυίδ, ὁ δὲ συνάπτει τὸ εὐαγγέλιον
τῷ νόμῳ καὶ τοῦ εὐαγγελίου ἀρχὴν τὸν νόμον νενόηκεν, ἀλη-
θεύει ὁ σωτὴρ λέγων „ὁ ὑμᾶς ἀθετῶν ἐμὲ ἀθετεῖ"· οὐκέτι γὰρ
μέχρι τοῦ νόμου ἵσταται ἡ ἀτιμία, ἀλλ' ἐπ' αὐτὸν ἀναβαίνει
τὸν σωτῆρα. καὶ οἱ μὲν Ἰουδαῖοι ἀκουέτωσαν „εἰ Μωσέως 30
ἠκούετε, ἠκούετε ἂν ἐμοῦ· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν", οἱ
δὲ Μανιχαῖοι ἀκουέτωσαν Εἰ τοῦ εὐαγγελίου ἠκούετε, τοῦ νόμου
[ἂν] ἠκούετε· περὶ γὰρ τοῦ νόμου τὸ εὐαγγέλιον γεγράφηκεν.
ἀλλ' Ἰουδαῖοι μὲν κάλυμμα λαμβάνοντες οὐδὲ τὸν νόμον νενοή-
κασιν οὐδὲ τὸν καταγγελ[λ]όμενον ἐπέγνωσαν, οἱ δὲ αἱρεσιῶται 35
ὀφθαλμοὺς ἔχουσιν οὐ βλέποντας, ὦτα ἔχουσιν οὐκ ἀκούοντα,
διὰ τὸ μὴ παρακύψαι εἰς τὰ εὐαγγέλια τῷ νόμῳ ἐμαχέσαντο·
ἰδοὺ γὰρ ὁ μὲν Ἰωάννης βοᾷ „ἐγένετο ἄνθρωπος ἀπεσταλμένος
παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης, οὗτος ἦλθεν εἰς μαρτυρίαν,

ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός". οἶδε τὸν μάρτυρα καὶ οἶδε τὸν μαρτυρούμενον καὶ τὸν μάρτυρα προγράφει „ὁ νόμος καὶ οἱ προφῆται μέχρις Ἰωάννου". οὐκοῦν ὁ Ἰωάννης μαρτυρεῖ καὶ ὁ νόμος μάρτυς, καὶ μαρτυρεῖται ὁ νόμος. ὅρα ἡλίκον ἀτόπημα
5 ἡ περὶ τὰς μαρτυρίας ἀπιστία νομίζει. καὶ τοιαῦτα τούτων φθεγξαμένων οὐδὲ ὁ Λουκᾶς σιωπᾷ. φησὶ γὰρ τὴν αὐτὴν φωνὴν καὶ συνῳδὰ τοῖς ἄλλοις φθέγγεται καὶ διηγεῖται ὅτι ἄρτι μὲν ὁ Γαβριὴλ τῇ Μαρίᾳ φανεὶς ἠφίει οὐράνιον ἀσπασμὸν λέγων „χαῖρε, κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ"· ὡς δὲ ἐκείνη ἐπὶ τῷ
10 λόγῳ ἐταράττετο καὶ διελογίζετο ἐν ἑαυτῇ λέγουσα „ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος"; ἔλεγε „μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν ἐνώπιον τοῦ θεοῦ καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. οὗτος ἔσται μέγας καὶ υἱὸς ὑψίστου κληθήσεται καὶ δώσει αὐτῷ κύριος τὸν θρόνον
15 Δαυὶδ τοῦ πατρὸς αὐτοῦ καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος". καὶ τιμᾶται Δαυὶδ καὶ πατὴρ ὁμολογεῖται σωτῆρος καὶ μένει ἡ ἀρχὴ καὶ παραδίδοται τῷ κυρίῳ καὶ τέλος οὐ δέχεται, τῆς ἀρχῆς ἐν τῷ ἀτελευτήτῳ σεμνυνομένης. καὶ ταῦτα μὲν αἱ τῶν εὐαγγελίων ἀρχαί. ἔδει
20 γὰρ ἡμᾶς ἀπὸ τῶν ἀρχῶν τὸν λόγον ὑφᾶναι, ἵν' οὕτω κατόπιν τις βαδίζων τοῦ λόγου καὶ τὴν ἀκολουθίαν καὶ τὴν ἁρμονίαν τῶν λόγων κατανοῇ ἐξ ὅλων τῶν εὐαγγελίων. ἐπειδὴ δὲ καὶ ἡ ἀποστολικὴ διακονία χαρακτῆρα σώζει εὐαγγελικόν, καὶ ὁ Παῦλος οἶδε καὶ τὴν διακονίαν ἑαυτοῦ τῶν παθημάτων ἐν μέρει
25 εὐαγγελίου μετρεῖ (φησὶ γὰρ „κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ χριστοῦ"), ἡμεῖς μηδὲ τὰς ἀρχὰς τοῦ ἀποστόλου παραλείψωμεν, ἀλλὰ κἀκείνων εἰς μνήμην ἔλθωμεν, ἵνα πάσας τὰς γραφὰς καὶ ἀρχὰς τῶν γραφῶν παρελθόντες, τῇ ὁμοφωνίᾳ τοῦ νόμου οἰκονομήσωμεν. γράφων μὲν τοῖς Ἑβραίοις οὕτως λέγει „πολυμερῶς
30 καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ ἐποίησε τοὺς αἰῶνας". ἐνταῦθα πατέρα οἶδεν υἱοῦ καὶ πατέρα ἐπιστάμενον υἱοῦ. οὐ μερίζει τὸ πρᾶγμα, οὐ σιωπᾷ περὶ τῶν παλαιῶν, οὐ
35 προφήτας ἑτέρου προσγράφει, ἀλλὰ θεὸν προφητῶν καὶ πατέρα υἱοῦ. καὶ ὁ μὲν Παῦλος οὐ μεμέρικεν οὔτε διεῖλεν, ἀλλ' ἕνα ἢ τὸν αὐτὸν κηρύττει, ὑπ' ἐκείνων μὲν προσκυνηθέντα, τοῦτον δὲ τεκόντα, καὶ τούτου μὲν γεννήτορα, ἐκείνοις δὲ προσκυνηταῖς καὶ οἰκέταις χρησάμενον. οὐ γὰρ εἰσὶν οἰκέται οἱ προφῆται,

τούτου ἐστὶν υἱὸς ὁ χριστός. εἰ δὲ τὸν υἱὸν τιμᾷς, τοὺς δὲ οἰκέτας διαβάλλεις καὶ λοιδορεῖς, τῷ στόματι φθέγγῃ ἃ βούλει. ὁρᾷς ὅτι ἀγανακτεῖ ὁ υἱός; οὐκ ἀνέχεται πατρὸς ὑβριζομένου. εἰ γὰρ ὁ πατὴρ τὴν τοῦ υἱοῦ ἀτιμίαν ἰδίαν ἀτιμίαν λελόγισται, πόσῳ μᾶλλον ὁ υἱὸς τὴν τοῦ πατρὸς ὕβριν ἰδίαν εὐτέλειαν λο- 5 γιεῖται; ἵνα δὲ καὶ κατ' ὀλίγον φοιτῶντες κατὰ βραχὺ δυσωπήσωμεν, οὕτως ἐπιχειρήσωμεν. εἰ θεοῦ ὁ νόμος, διὰ τί οὐ παραδέχονται τὸν νόμον; εἰ δὲ διαβάλλεις τὸν νόμον, τίνος ῥήματα καὶ φωνὴ ὁ νόμος; τίνος δυνάμει τὰ γεγραμμένα παρὰ τοῦ νόμου λελάληται; ἐνταῦθα γὰρ αἱ αἱρέσεις διαιροῦνται καὶ 10 οὐκέτι ὅμοια διαλέγονται, ἀλλ' ἑαυταῖς μαχόμενα. καὶ Οὐαλεντι[νι]ανοὶ μὲν ὧδε, Μανιχαῖοι ὧδε, ἑτέρωθι δὲ Μαρκίων πτύσματα καὶ οὐ ῥήματα κατὰ τοῦ νόμου μαρτυροῦσι. καὶ Οὐαλεντι[νι]ανοὶ μὲν Δίκαιος (φασίν) ἦν ὁ τοῦ νόμου θεὸς καὶ δίκαιος ὢν οὐ πατὴρ ἦν τοῦ υἱοῦ. Ἰησοῦς (φασίν) ἀγαθός· ἀγαθὸς δὲ 15 καὶ ὁ πατήρ, καὶ ὁ μὲν τοῦ υἱοῦ πατὴρ ἀγαθὸς καὶ ἀγαθὸν τὸ γεννώμενον, ὁ δὲ τοῦ νόμου δίκαιος. καὶ τοιαῦτα διαλεγόμενοι, οἵαν σχέσιν τὸ δίκαιον πρὸς τὸ ἀγαθὸν ἔχει οὐ νενοήκασι, καὶ ὅτι, εἴ τι δίκαιον, καὶ ἀγαθόν, καὶ εἴ τι ἀγαθόν, καὶ δίκαιον, οὐδ' ἐν φαντασίᾳ εἰλήφασι. μὴ δυνάμενοι δὲ τοιαύτας φαντασίας 20 ἔχειν, τοῦτο μόνον ἐρωτάσθωσαν· εἰ δίκαιος ὁ τοῦ νόμου θεὸς καὶ οὐκ ἔστι πατὴρ τοῦ υἱοῦ, οὐκ ἔστι δίκαιος ὁ Ἰησοῦς· καὶ πῶς τὴν δικαιοσύνην ἀπὸ τοῦ υἱοῦ ἀπαιτοῦμεν; εἰ οὐ γεγέννηται ἀπὸ τοῦ δικαίου, πῶς κρίνει; πῶς δικάζει; πῶς τὸ βῆμα ἐγκεχείρισται ἀπὸ τοῦ πατρός; πῶς ἑκάστῳ ἀποδίδωσι πρὸς ἃ ἔπραξε; 25 πῶς ἀληθεύει Παῦλος λέγων „τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ ζητοῦσι ζωὴν αἰώνιον ὁ θεὸς συνεργεῖ εἰς τὸ ἀγαθόν, τοῖς δὲ ἐξ ἐριθείας πειθομένοις τῇ ἀδικίᾳ ὀργὴ καὶ θυμός, θλίψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν"; λέλυται γὰρ τὰ ῥήματα, εἰ ὁ τοῦ δικαίου 30 ὅρος τῷ υἱῷ οὐκ ἀποδέδοται. εἰ δὲ τιμωρία μὲν κατὰ τῶν ἐπταικότων κεῖται καὶ μέτρον τιμωρίας ἡ τοῦ δικαίου ἐπιστασία γίγνεται, τιμαὶ δὲ καὶ δωρεαὶ τοῖς εὐδοκιμοῦσιν ἀποταμιεύονται καὶ σταθμίζεται ἡ τιμὴ τῇ τοῦ δικαίου ἐπικρίσει, πῶς διαστέλλονται καὶ οὐ συστέλλονται τὴν προπέτειαν; εἰ δὲ ὁ μονογενὴς 35 μὲν τοιοῦτος, οὐ τοιοῦτος δὲ ὁ πατήρ, οὐκέτι ὅμοιος ἐξ ὁμοίου γεγέννηται, οὐκέτι εἰκὼν τοῦ γεγεννηκότος, οὐκέτι „χαρακτήρ", οὐκέτι „ἀπαύγασμα", οὐκέτι „ὁ βλέπων τὸν υἱὸν βλέπει τὸν πατέρα", εἴγε μὴ ὅσα ἔχει ὁ υἱὸς ἔχει ὁ πατήρ. καὶ βοᾷ ὁ σωτὴρ ἐν τῷ

εὐαγγελίῳ „πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δὲ σὲ ἔγνων“. τί πράξωμεν; νῶτα δῶμεν τῷ ῥήματι τοῦ σωτῆρος; ἀπιστήσομεν τῷ γεγραμμένῳ ἢ τὸ μὲν ῥῆμα θαυμάσομεν (τῆς γὰρ ἀληθείας ἐστὶ ῥῆμα), Οὐαλεντι[νια]νοὺς δὲ ὡς μεμηνότας
5 καὶ δαιμονιῶντας ἔξω τῶν θεοπρεπῶν καὶ ἱερῶν συνεδρίων στήσομεν; ἀλλ' ἐπειδὴ ἄτοπόν τι πάσχομεν τὸν κατὰ τῶν αἱρεσιωτῶν μηκύνοντες λόγον, μὴ ταύτης τῆς ὑποθέσεως ἡμᾶς ἑλκούσης, ἀνακαλεσώμεθα τὸν λόγον καὶ ἐπὶ τὴν ὑποκειμένην ὑπόθεσιν χωρήσωμεν, καὶ ταῦτα τοῦ λυσιτελοῦς ἕνεκεν ἐσκεμμένοι, ἵνα
10 μήτε οὗτος ὁ λόγος πάντη σεσιωπημένος ἡμῖν ὑπάρχῃ. τριχῇ γὰρ ἡ πονηρία διῃρημένη κατὰ τοῦ νόμου ἐφθέγξατο καὶ τοσαύταις χρησάμενοι διαιρέσεσι, τοσούτοις κέχρηται καὶ τοῖς ὑπηρέταις καὶ προστάταις τῆς βλασφημίας, ᾑρημένη τοὺς ὑπηρετῆσαι δυναμένους, καὶ διὰ Οὐαλεντίνου μὲν σμικρύνειν τὸν νόμον καὶ
15 χωρίζειν. τὸ εὐαγγέλιον, διὰ δὲ Μαρκίωνος ἐκτρώματός τινος εἶναι τὴν τοῦ νόμου γραφήν, διὰ δὲ Μανιχαίου πονηροῦ τινος, ἀφεγγοῦς, ὅλον σκότους. τοιαῦτα γὰρ πλάττει, τοιαῦτα ῥημάτια συντίθησι, κενολεκτεῖ, διὰ συνθέσεως ῥημάτων καταπλήττων ἀκοὰς ἀγυμνάστους. δι' ὃ τοιαῦτα ἐρωτῆσαι δεῖ· εἰ ὁ πονηρὸς
20 τὸν νόμον ἔγραψεν, ὁ ἀφεγγὴς ἐκεῖνος, καθ' ὅλου καὶ δι' ὅλου σκότος ὤν, πῶς ᾔδει ἔλευσιν Ἰησοῦ; πῶς ᾔδει ἄφιξιν αὐτοῦ; πῶς μήπω τῶν πραγμάτων πεπραγμένων συνῆκεν ἃ ἐβουλεύσατο ὁ θεὸς καὶ προκατήγγειλε καὶ προεδήλωσε; φανεραὶ γὰρ αἱ τοῦ νόμου γραφαὶ ἄνωθεν μαρτυροῦσαι τὴν ἄφιξιν τοῦ υἱοῦ.
25 εἰ μὲν γὰρ ἐροῦσιν Ὁ νόμος οὐκ ἐδήλωσεν οὔτε προφῆται προεσήμαναν, κατὰ τῶν προφανῶν φθεγγόμενοι ἐλεγχθήσονται, οὐχ ἡμῶν πλεκόντων τὸν ἔλεγχον, ἀλλ' αὐτῶν τῶν εὐαγγελίων φανερῶς φθεγγομένων καὶ ἄνω καὶ κάτω βοώντων, πῇ μὲν „ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἠσαΐου τοῦ προφήτου“, πῇ δὲ „οὐκ ἦλθον
30 καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι“. εἰ δὲ ἐκ τούτου σαφῶς ἐλεγχόμενοι συντίθενται, τί ἀποκρινοῦνται; εἰ γὰρ „οὐδεὶς οἶδε τὰ τοῦ θεοῦ, εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ“, ὁ δὲ τὸν νόμον γράφων ᾔδει τὰ ἐν τῷ θεῷ καὶ ἠπίστατο ὅσα ἐβούλετο ὁ θεός, καὶ διὰ τοῦτο γεγράφηκεν ἐξ ἐπιστασίας καὶ ἐπιστήμης, ὁ γράφων
35 ἄρα θεοῦ ἦν καὶ θεὸς ἦν καὶ ἐν τῷ θεῷ ἦν καὶ διὰ τοῦτο ὅσα ἐβούλετο ὁ θεὸς λελάληκε, νοῶν τὰ ἐν τῷ θεῷ καὶ οὐκ ἀγνοῶν. εἰ δὲ τὴν ἡμετέραν καρδίαν οἶδεν οὐδείς, μόνος δὲ οἶδεν ὁ ποιητής, καὶ μανθάνει μὲν ἡ ἡμετέρα καρδία τοὺς ἄλλους, οὐ δύναται δὲ μανθάνειν τὸν θεόν, ἃ δὲ ἐβούλετο ὁ θεὸς οὐκ

ἠγνόει ἡ πονηρία ἀλλ' ᾔδει, καὶ οὗτος μὲν ἐβουλεύετο, ἐκείνη δὲ ᾔδει, πῶς οὐ μέγα μέγεθος διδόασι τῇ πονηρίᾳ, δυναμένῃ μηδὲ τὴν βουλὴν τοῦ θεοῦ ἀπόκρυφον ἔχειν; πῶς δὲ οὐ διαβάλλουσι τὸν θεὸν μὴ δυνάμενον μήτε πονηρίαν κρύπτειν; καὶ γελῶμεν μὲν τοὺς ἄνδρας, ὅτε τι πράττοντες κατὰ τῶν πολεμίων, εὐφώρατον ποιοῦσι τὸ σκέμμα, τοιοῦτον δὲ πλέκοντες λόγον οὐχ ὁρῶσιν ὅτι χλεύην κατὰ τοῦ θεοῦ σκευάζουσιν, ὅτι στρατηγῶν κατὰ τῆς πονηρίας ὁ θεὸς τὰ σκέμματα τὰ ἴδια ἀφανῆ οὐ τετήρηκεν, ἀλλ' εἶχεν αὐτὰ εὐφώρατα τῇ πονηρίᾳ γινόμενα. εἰ δὲ καὶ αἱ θεῖαι δυνάμεις καὶ ἀγγελικαὶ οὐ δύνανται νοῆσαι τί βουλεύεται ὁ πατήρ, μόνου νοοῦντος καὶ ἐξηγουμένου τοῦ υἱοῦ („θεὸν οὐδεὶς ἑώρακε πώποτε, ὁ μονογενὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο"), πῶς αἱ πονηραὶ δυνάμεις ᾔδεισαν τὰ ἐν τῷ θεῷ, οὐδὲ τῶν θείων δυνάμεων ταῦτα δυναμένων εἰδέναι, εἰ μὴ παράδοσις μαθημάτων ἐκ τῆς τοῦ μονογενοῦς ἐξηγήσεως παραδοθῇ; ὅτι δὲ αὐτὸς ὁ νόμος πάντα τὰ τῆς ἀφίξεως αὐτοῦ προλαβὼν διηγεῖται („ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν"), ἕτερος δὲ προφήτης τὸν τόπον οὐκ ἀγνοεῖ („καὶ σύ, Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα"), ἕτερος καὶ τὸν ὅρον τῆς θέσεως („ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ"), ἕτερος δὲ καὶ τὴν εἰς Αἴγυπτον φυγὴν καὶ τὴν ἀπ' Αἰγύπτου ἐπάνοδον („ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου"), ἄλλος τὴν οἴκησιν τὴν ἐν τῇ νέᾳ ἡλικίᾳ αὐτῷ γενηθεῖσαν („γῆ Ζαβουλών, γῆ Νεφ[θ]αλείμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδε μέγα"), ἕτερος δὲ καὶ τὸν πρόδρομον οὐκ ἀγνοεῖ („φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ Ἑτοιμάσατε τὴν ὁδὸν τοῦ κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ")· καὶ ὅλως εἰ βουληθείη τις ἀναλεγόμενος τὰς ἐκ τοῦ νόμου προφητείας ὅλον τὸ εὐαγγέλιον συνθεῖναι, τὰ ὧδε πεπραγμένα ῥήμασι προφητικοῖς συγγράφων, φανήσεται φιλομαθής τις καὶ φιλόλογος, μὴ δίχα πνεύματος ἐξηγούμενος παιδεύματα αὐτοῦ, διδασκαλίας αὐτοῦ, βάπτισμα αὐτοῦ, σημείων ἐπιτελέσεις, τὸ γεγονὸς κρίμα, τὴν προδοσίαν τοῦ Ἰούδα, τὴν ἐπὶ τοῦ ἰκρίου οἰκονομίαν, τὴν χολὴν καὶ τὸ ὄξος τὸ ἐν δίψῃ δεδομένον αὐτῷ, τὴν ταφὴν αὐτὴν καὶ τὸ μνημεῖον, τὴν οἰκονομίαν τὴν ἐν τῷ ᾅδῃ, τὴν ἔγερσιν αὐτήν, τὸ τελευταῖον καὶ τὴν ἀνάληψιν. τότε γὰρ λοιπὸν καὶ βοήσεται „ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης". τότε τοῦτο προσθήσει

καὶ τὸ γεγραμμένον παρὰ τοῦ Δαυὶδ „εἶπεν ὁ κύριος τῷ κυρίῳ
μου Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑπο-
πόδιον τῶν ποδῶν σου“. εἰ οὖν ὁ νόμος οὕτως ἠκρίβωσε τὴν
ἄφιξιν τοῦ υἱοῦ καὶ μακρόθεν προήγγειλεν, οὐκέτι διαβάλλεται,
5 οὐκέτι ἄλλῳ προσγράφεται, ὁ γεννήσας προελάλησεν, ὁ βουλευ-
σάμενος λόγῳ προέλαβε τὰ πράγματα, θεὸς ἐγέννησε, θεὸς λέγει
„υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε“, θεὸς ἀπέστειλε,
θεὸς διὰ Μωσέως ἐλάλησε „προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ
θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, αὐτοῦ ἀκούσεσθε πάντα ὅσα ἐὰν
10 λαλήσῃ ὑμῖν“. ὁ θεὸς ἐβουλεύσατο καὶ ὁ βουλευσάμενος οὐκ
ἐσιώπησε, τὴν βουλὴν προεμήνυσε, πίστιν ἐμποιῶν διὰ τῶν
προμηνυθέντων. „καλεῖται (φησί) γὰρ τὸ ὄνομα αὐτοῦ μεγάλης
βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, ἄρχων εἰρήνης, πατὴρ
τοῦ μέλλοντος αἰῶνος“. καὶ τοιοῦτος μὲν ὁ τοιοῦτος ἔλεγχος.
15 ἐπειδὴ δὲ τῷ πονηρῷ προσγράφουσι τὸν νόμον, τί φήσουσιν,
ἐάν τις αὐτῶν πεύσηται, εἰ ὁ πονηρὸς πονηρὰ παραινεῖ καὶ οὐ
δύναται μὴ παραινεῖν πονηρά, εἴ ποτε καὶ καλὰ παραινέσει καὶ
ἀγαθὰ συμβουλεύσει; εἰ μὲν γὰρ ἐροῦσιν ὅτι πέφυκε καλὰ πα-
ραινεῖν καὶ ἀγαθὰ συμβουλεύειν, λύουσι πάλιν τὸν ἑαυτῶν ὅρον·
20 οὐκέτι γὰρ πονηρὸς ὁ μὴ πονηρὰ παραινῶν, οὐκέτι πονηρὸς ὁ
ἀγαθὰ συμβουλεύων. εἰ δὲ οὐδεμία προαίρεσις ἀγαθὴ ἀπὸ
πονηροῦ προέρχεται, ποίας τάξεως ἐροῦσιν ἐκείνας τὰς παραι-
νέσεις „οὐ πορνεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδο-
μαρτυρήσεις“; ποίας τάξεως ἐροῦσιν ἐκεῖνο τὸ γεγραμμένον „οὐ
25 ποιήσεις σεαυτῷ εἴδωλα, οὐ παντὸς ὁμοίωμα, οὔτε ὅσα ἐν τῷ
οὐρανῷ οὔτε ὅσα ἐν τῇ γῇ οὔτε ὅσα ἐν τοῖς ὕδασι“; ποίας με-
ρίδος φήσουσι τὰ προστάγματα „οὐκ ἐπιθυμήσεις τοῦ βοὸς τοῦ
ἀδελφοῦ σου ἢ τοῦ ὑποζυγίου ἢ τῆς γυναικὸς ἢ παντὸς κτήνους“;
εἰ μὲν γὰρ σεμνὰ καὶ θεῖα καὶ ἐράσμια τὰ τοιαῦτα φήσουσιν,
30 ἐντραπήσονται ὑπὸ τῶν παραινέσεων, τὸ μέγεθος τοῦ συμβεβου-
λευκότος ἠγνοηκότες· εἰ δὲ φαῦλα αὐτὰ ἐροῦσι καὶ διαβεβλη-
μένα καὶ φαῦλόν ἐστι τὸ μὴ πορνεύειν καὶ φαῦλόν ἐστι τὸ μὴ
ἐπιθυμεῖν ἀλλοτρίων καὶ τοιαῦτά ἐστι τὰ φαῦλα, σκόπει οἷα
νοήσουσιν ἀγαθά, σκόπει ὅτι προαγωγοί εἰσι τῶν ἡδονῶν καὶ
35 πρόξενοι τῶν εἰδώλων καὶ αἰσχρᾶς ἐπιθυμίας εὑρεταί. οἱ γὰρ
τὸν νόμον διαβάλλοντες ὑπὲρ ἀνομίας πρεσβεύουσι[ν]. οἱ τὸν νόμον
τὸν τὰς ἡδονὰς ἀναιροῦντα, τὸν τὴν ἀπάτην καταλύοντα, τὸν
δεισιδαιμονίαν καταργοῦντα ἐξοστρακίζοντες τί ἕτερον ἢ εἰσοικί-
ζουσι τὰς ἡδονὰς καὶ εἰσφέρουσι τὰς ἐπιθυμίας; ἵνα δὲ ἡδονὴ

ἀνέδην εἰσβάλλῃ ἐν ταῖς διανοίαις, τὸν νόμον ἐκ τῶν οἰκήσεων ἤλασαν, ἵνα μὴ νόμῳ χρησάμενοι ὑπὸ νόμον ἐντραπῶσιν, ἀλλά πως τὸν νόμον ἀποσεισάμενοι ἀναπεπταμένας ἑαυτῶν τὰς ἀκοὰς παράσχωνται ταῖς ἐπιθυμίαις. φαίνεται δὲ ὁ νόμος κακίας ἀναιρέτης, οὗτοι δὲ ἀμαθῶς καὶ ἀπαιδεύτως διαβάλλειν τὸν νόμον 5 ἐπικεχειρήκασιν. καὶ ὁ μὲν νόμος κακίαν μισεῖ, οὗτοι δὲ νόμον μισοῦσι. καὶ καταλύει μὲν τὴν δεισιδαιμονίαν ὁ νόμος, οὗτοι δὲ λύειν τὸν νόμον τολμῶσιν. ἀντιθῶμεν οὖν τὰ πράγματα. εἰ ὁ νόμος κακίᾳ ἀντίκειται, οὗτοι δὲ νόμῳ μάχονται, ἀγανακτοῦσι διὰ κακίαν, ὅτι ὁ νόμος κακίαν διαβάλλει· μὴ φέροντες 10 γὰρ τὴν τῆς κακίας διαβολήν, τὸν νόμον διαβεβλήκασιν, ἵνα ἡ κατὰ τῆς κακίας διαβολὴ μὴ ἰσχύσῃ, τοῦ νόμου διαβεβλημένου. εἰ ὁ νόμος τὰ εἴδωλα ἀναιρεῖ καὶ τὴν πολυθεΐαν καταλύει, οὗτοι δὲ ὅπλα κατὰ τοῦ νόμου κεκινήκασιν, εἰκότως πολυθεΐαν κατήγγειλαν. ἵνα γὰρ ὁ τῆς πολυθεΐας ἰσχύσῃ λόγος, τὸ τοῦ νόμου 15 παρ' αὐτοῖς κεκώλυται παράγγελμα τὸ λέγον „ἄκουε, Ἰσραήλ, κύριος ὁ θεός σου κύριος εἷς ἐστι“, καὶ „ἀγαπήσεις κύριον τὸν θεόν σου“, καὶ „μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην προσκυνήσεις αὐτοῖς“. πρὸς ταῦτα τὰ ῥήματα ὅπλα κεκινήκασι, πρὸς ταῦτα τὰ παραγγέλματα τραχυν- 20 θέντες ὡς μάχαιραν τὴν γλῶσσαν ἠκόνισαν. διὰ τοῦτο δαιμονῶσι καὶ πάντα τιμῶσι καὶ οὐδὲν ἴσασιν, εἰ μὴ πάντα προσκυνεῖν, καὶ ἀεὶ πίπτουσι χαμαὶ καὶ γνώμην ἔχουσιν ἐπηρμένην καὶ πλανῶνται καὶ ῥέμβονται τῇ διανοίᾳ. πάντα τεθεοποιήκασιν ἐπ' ἐξουσίας καὶ τὴν πλάνην ἐσχήκασι. νενικήκασι τοὺς Ἕλλη- 25 νας, τῷ πλήθει καὶ τῇ κενότητι Ἕλληνες Ἑλλήνων γεγονότες καὶ τῷ μεγέθει τῆς αὐτῶν ἀτοπίας τὰς ἐκείνων ἀμβλύνοντες ἀγνοίας. ἵνα δὲ μή τις ἀπατηλοτάτῃ τέχνῃ χρησάμενος ἐπι[τε]τηδευμένως λέγῃ Ἐσχηματίσατο ὁ νόμος, καὶ ἔνια τῶν καλῶν σεσυληκὼς ὡς ἴδια προσηνέγκατο, σεμνῦναι τὰς ἑαυτοῦ 30 ἀτοπίας βουλόμενος, καὶ μόρια τῶν καλῶν ἐνέσπειρε, διὰ τῶν μορίων τῶν καλῶν τἄλλα κατακρύψαι ἐσπουδακώς, φέρε πρῶτον γυμνάσωμεν, μή τι ἄτοπον παρὰ τῷ νόμῳ φανείη, καὶ οὕτως ἔλεγχος τῆς ἀτοπίας αὐτῶν γιγνέσθω· δεύτερον, εἰ ἔνια τῆς κακίας μέρη ἐπεξελθὼν ἀπεσκέδασεν ..... ἐλευθέρους τοὺς 35 πιστεύοντας παντὸς μορίου κακίας ἀποδείξας, οὐκέτι ἐσχηματισμένος ὁ νόμος φανείη, ἀλλ' ἐχθρὸς καὶ τῆς κακίας πολέμιος· τρίτον δέ, εἰ ἔνια τῶν καλῶν περιέσπειρε καὶ οὐ πᾶν εἶδος τῆς ἀρετῆς τοῖς γράμμασι συνῆψεν, ἵνα, εἰ μὲν ἔνια φανείη γεγρα-

φηκώς, πλείονα δὲ ἀπολελοιπώς, ἔχῃ τινὰ δύναμιν ὁ ἔλεγχος. εἰ δὲ ὅλα δι' ὅλου τὰ καλὰ τοῖς γράμμασιν ἐπετέθη τοῦ νόμου, θαυμάσωμεν τὸν νόμον καὶ θεοῦ νόμον ὁμολογήσωμεν καὶ πατρὸς ὁμιλίαν φήσωμεν, τούτους δὲ παραγραψώμεθα, κίβδηλον
5 γνώμην καὶ παρακεχαραγμένην ἐσχηκότας. ὅτι μὲν οὖν οὐδὲ ἓν μόριον κακίας ἐπεσπαρμένον ἔχει οὐδὲ μόριον κακίας ἀφηρηκὼς ἑτέρου ἐφείσατο, ἀλλὰ καθαρὸς μὲν ὁ νόμος καὶ ἅγιος καὶ θεοῦ νόμος, ὁ Παῦλος βοᾷ „ὥστε ὁ μὲν νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή. καὶ οἴδαμεν γὰρ ὅτι ὁ μὲν
10 νόμος πνευματικός ἐστιν". τὸ γὰρ ἅγιον καὶ πνευματικὸν καὶ ἀγαθὸν πάσης ἀτοπίας ἀπολέλυται καὶ οὐδεμιᾷ ἀτοπίᾳ ἀνέχεται. σεμνύνεται ταῖς ἀρεταῖς καὶ διαλέγεται τῷ θεῷ. ἡ γὰρ πρὸς τὸν θεὸν ὁμιλία ἄλλης μὲν τάξεως οὐκ ἀνέχεται, τῇ δὲ τοῦ πνεύματος ῥυθμίζεται ἐπιστασίᾳ. „πνεῦμα γὰρ ὁ θεὸς καὶ τοὺς
15 προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν". πνευματικὸς δὲ ὢν ὁ νόμος τὴν πρὸς θεὸν ὁμιλίαν παρασκευάζει καὶ δύναται ὁ πνευματικὸς τὰ μὲν ἄλλα κρῖναι, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται· πόσῳ μᾶλλον ὁ νόμος ὁ πνευματικὸς αὐτὸς μὲν πάντων τῶν ἄλλων τοὺς λόγους ἀνακρῖναι δύναται, αὐτὸς
20 δὲ ὑπ' οὐδενὸς ἀνακριθήσεται; ὅτι δὲ καὶ πᾶν εἶδος κακίας ἀνεῖλε καὶ οὐδὲ ἓν μόριον παρεῖδεν, ἀλλ' ἐπεξῆλθε, πᾶν εἶδος κακίας ἀναιρῶν [καὶ] ἀνακόπτων, δῆλον ἐκ τῶν περὶ τῆς κακίας ὅρων, τεσσάρων εἰδῶν ὄντων τῆς κακίας, ἀφροσύνης καὶ ἀκολασίας καὶ δειλίας καὶ ἀδικίας. εἰ μέν τι φαῦλον εἴη ὁ νόμος
25 σεσιωπηκώς, ἀτελὴς ὁ νόμος· εἰ δὲ ἐπεξῆλθε καὶ ἐπεξε[ι]ργάσατο, πᾶν εἶδος κακίας προαναιρῶν, εἰκότως ἡ κακία συστέλλεται ὑπὸ τοῦ νόμου, μηδὲ λείψανον ἔχειν συγκεχωρημένη. ὅπου γοῦν ἰσχύει νόμος, καὶ τῇ πειθοῖ τὰ νεῦρα δίδωσιν, οὐδὲ νοτίδα κακίας ἔστιν εὑρεῖν. ὅπου δὲ ἀτονεῖ, περιέρχεται ἡ πονηρία
30 σκυλεύουσα καὶ κατανεμομένη, ἐπ' ἐξουσίας βαδίζουσα, τῷ ἀφυλάκτῳ τῆς ψυχῆς τὴν ἐξουσίαν εὑραμένη. βοᾷ γὰρ ὁ νόμος „εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη, ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα". ὅτε γὰρ πείθει νόμος, ἄνευρα γίνεται τὰ κακά, χαμαὶ κείμενα καὶ μηδὲ
35 ἀντωπῆσαι τῇ ψυχῇ δυνάμενα. εἰ γὰρ „λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου", πᾶν τὸ πρόσκομμα ἀνῄρηται, πεφωτισμένης καὶ διαυγοῦς τῆς καρδίας εὑρεθείσης. κἂν γὰρ τὴν νέαν ἐκείνην καὶ ὀλισθηρὰν ἔχῃ ἡλικίαν, φυλακὴν δὲ τῶν ῥημάτων τηρήσῃ, ἀδιάπτωτος διατελῶν βοήσεται „ἐν τίνι

κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου". δύναμιν δὲ τοῦ μηδέποτε σφάλ[λ]εσθαι πορισάμενος ἑαυτῷ τῷ κρύπτειν τὰς τοῦ νόμου μαθήσεις ἐν τῇ διανοίᾳ, φησὶν „ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι", καὶ οὕτω τὸν νόμον ἀντὶ φρουροῦ καὶ φύ- 5 λαχος θέμενος, συνήσει πῶς ἕκαστον τῶν εἰδώλων τῆς κακίας ὁ νόμος ἀπελαύνει, ἀπελαύνων μὲν τὴν ἀφροσύνην διὰ τοῦ λέγοντος γράμματος „μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις", ἐξοστρακίζων δὲ τὴν δειλίαν διὰ τοῦ λέγοντος λογίου „μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος· μὴ φοβοῦ ὀνει- 10 δισμὸν ἀνθρώπων καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττῶ. καὶ φοβοῦ τὸν θεὸν καὶ ἰσχύσεις, πλὴν αὐτοῦ μὴ φοβοῦ ἄλλον". ἐνταῦθα γὰρ τὴν δειλίαν ἀποσεισάμενος καὶ τὴν ῥώμην ἐνθεὶς καὶ τὴν ἀνδρείαν ἐμβαλὼν βοᾷ „δίκαιος ὡς λέων πέποιθεν, ὃς οὐ φοβεῖται οὐδὲ καταπτή[σ]σει κτῆνος". καὶ τὰ δύο εἴδη τῆς κακίας 15 ἀνῃρηκώς, ἀφροσύνην τε καὶ δειλίαν, συναναιρεῖ καὶ τὴν ἀκολασίαν, λέγων „οὐ πορνεύσεις, οὐ μοιχεύσεις"· ὅπου τὰ πάθη συστέλλεται, χαλινὸς σωφροσύνης ἐν τῇ διανοίᾳ εὑρίσκεται. καὶ τῶν τριῶν συνανῃρημένων, ἀναιρεῖ καὶ τὴν ἀδικίαν „οὐ ποιήσεις σεαυτῷ σταθμία μικρὰ καὶ μεγάλα· σταθμία δίκαια καὶ ἴσα 20 ἔστωσάν σοι". καὶ οὕτω τῶν τῆς κακίας ἀνῃρημένων ἡ πονηρία λέλυται, μηκέτι ἐμβατεῦσαι τῇ διανοίᾳ δυναμένη. ποῖα οὖν ἤδη ἀτοπίας οὐκ ἀνῄρησεν ὁ νόμος; ποῖα μέρη ἡδονῆς οὐ λέλυκε; ποίας δειλίας; ποίας ἀφροσύνας; οὐκ ἐπὶ τοσοῦτον ἐπεξῆλθε, τὴν ἡδονὴν ἀναιρῶν, ὡς καὶ τῶν ὀμμάτων ἐπιμελήσασθαι καὶ 25 τῆς ἀκοῆς μὴ φείσασθαι καὶ τῆς γλώσσης μὴ ἠμεληκέναι; „ἐθέμην γὰρ τοῖς ὀφθαλμοῖς μου φυλακὴν καὶ οὐ μὴ συνήσω ἐπὶ παρθένον". ὁ ἅγιος μέχρι τῶν ὀμμάτων φθάνει, ἵνα μὴ γαργαλίζουσα τὴν ψυχὴν ἡδονὴ εἰς σκελισμὸν τῆς ἐπιθυμίας ἀναγάγῃ. ἕτερος τῶν ἁγίων ἐβόα „μὴ περιβλέπου κάλλος ἀλλότριον", ἵνα 30 μὴ ἡδονὴ μηδὲ τὰ πρόθυρα τῆς ψυχῆς λαβοῦσα ἐλπίδα τῆς εἰσόδου λαμβάνῃ, ἀλλὰ καὶ τῶν θυρῶν ἀπελαθεῖσα ἀνέλπιστον τὴν ἐπιβουλὴν ἔχῃ. φθάνων δὲ ἐπὶ τὰς ἀκοὰς καὶ εἰς τὰς γλώττας, φρουροὺς καὶ φύλακας καὶ τοῖς μέλεσιν ἐπέθηκε, τόπον ἴδιον μὴ διδούς, ἀλλ' ἐβόα „θοῦ, κύριε, φυλακὴν τῷ στόματί 35 μου", ἵνα μηδὲ ἄτοπος λόγος δίχα τοῦ ὠφελίμου προεξελθὼν ἡδονῆς δέλεαρ τῷ τὰ αἰσχρὰ φθεγγομένῳ προξενίσῃ. ἐπιμελόμενος δὲ καὶ τῆς ὀσφύος, τοῦ μὴ ὧδε κἀκεῖ σεισθεῖσαν τὴν διάνοιαν δεσμίαν εἶναι, προενοήσατο παραγγέλ[λ]ων „οὕτω φά-

γεσθε τὸ πάσχα· αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι", ἵνα μηδὲ τὰ μέλη ἄζωστα ἔχοντες τῇ ῥᾳδίᾳ κινήσει κατεπιχειρήσωμεν, ἀλλ' οὕτω διεζωσμένοι τάξιν τὴν πρὸς τὰ πράγματα ἀρίστην εὑρώμεθα. καὶ οὕτω τῶν εἰδῶν τῆς ἡδονῆς προανῃρημένων ἐπεξῆλθε
5 καὶ κατὰ τῶν εἰδῶν τῆς διανοίας καὶ κατὰ τῶν εἰδῶν τῆς ἀδικίας. εἰ γὰρ τὸ τὰ ἑτέρου λαβεῖν καὶ βίᾳ λαβεῖν καὶ ἄκοντος λαβεῖν ἀδικία ἐστί, καὶ τὸ λαβόντα τὰ ἑτέρου ἢ ἑταίραις διδόναι ἢ ἀσώτως καταδαπανῆσαι εἶδός ἐστιν ἀδικίας, ἄδικός ἐστιν ὁ τὴν τιμὴν τοῦ θεοῦ ἀφαιρῶν, ξύλοις δὲ καὶ δαίμοσιν αὐτὴν
10 ἀποδιδοὺς καὶ καταδαπανῶν τὴν τιμὴν καὶ ἀσωτευόμενος ἐν τῇ διανοίᾳ. οὐδὲ γὰρ οὕτως ἄσωτος ὁ καταδαπανῶν τὴν οὐσίαν ὡς ἄδικος ὁ τὴν μεγάλην περιουσίαν, τὴν τιμὴν τοῦ θεοῦ, ἀπὸ τῆς διανοίας ἐξαφανίζων. ἐφ' ὅσον γὰρ συνέστηκεν ἡ περιουσία τῆς γνώσεως τῇ ψυχῇ, ἡ πρὸς τὸν θεὸν διάθεσις ἀποδίδοται.
15 ὅταν δὲ πᾶσα καταπονηθῇ καὶ καταναλωθῇ καὶ πτωχεύσῃ, τότε λοιπὸν τὴν ἐκείνου τιμὴν εἰς ξύλα καὶ τέχνην καταφέρει. διὰ τοῦτο καὶ ὁ ἀπόστολος τὴν ἀδικίαν δεισιδαιμονίαν ἐπιστάμενος ἔλεγε „καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία". ἐπεὶ οὖν τῆς ἀδικίας τὸ χαλεπώτατόν ἐστι μέρος ἡ εἰς θεὸν ἄγνοια, βρα-
20 χυτέρα δέ ἐστιν ἡ εἰς ἀνθρώπους πλημμέλεια καὶ εἰς δύο διαιρεῖται ἡ ἀδικία, εἴς τε τὴν εἰς θεὸν ἄγνοιαν καὶ τὴν εἰς ἀνθρώπους πλημμέλειαν, γραφόμενος ὁ νόμος ἀμφοτέρων ἤρξατο. καὶ πρῶτον μὲν βοᾷ „οὐ ποιήσεις σεαυτῷ εἴδωλα παντὸς ὁμοίωμα", ἵνα μὴ τὴν τοῦ πεποιηκότος τιμὴν κατασωτευόμενος πᾶσαν
25 ἄρδην διαφθείρῃς. ἐχαλέπαινε δὲ εἰκότως καὶ περὶ τοῦ λαοῦ, ὅτε μοσχοποιήσας ἐβόα „οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἵτινες ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου". ἐπειδὴ γὰρ τὰς τοῦ εὐεργέτου δωρεὰς τῷ μὴ δυναμένῳ κινηθῆναι προσαπένειμαν καὶ ἦν ἀδικία χαλεπωτάτη τὴν περιουσίαν τῆς εὐεργεσίας τοῦ πεποιηκότος τέχνῃ καὶ γλύμματι
30 ἀποδιδόναι, καὶ ἡ ἀλήθεια κεκί ηται καὶ ὁ νόμος γέγραπται καὶ ἡ ἀδικία κεκώλυται καὶ ὁ μανθάνων ἐπαιδεύετο καὶ οὕτω τοῦ θυμοῦ τῆς ἀδικίας προαναιρουμένου, καὶ τὴν πρὸς ἄνθρωπον ἀδικίαν συνανεῖλεν. καὶ πρῶτα μὲν ἔρωτα χρημάτων ἐγγενέσθαι τῇ ψυχῇ οὐ βεβούληται, ἐπεὶ ἔρως χρημάτων τίκτει τὰς ἀδικίας καὶ ἡ πρὸς τὰ
35 χρήματα ἐπιθυμία γεννᾷ τὰς πλεονεξίας. ἡ γὰρ ῥίζα τῶν κακῶν ἐστιν ἡ φιλαργυρία, ἔσονται δὲ κλάδοι καὶ κλῶνες τῆς φιλοχρηματίας αἱ ἀδικίαι, αἱ πλεονεξίαι. καὶ ἐπειδὴ ἀπὸ φιλοχρηματίας ἄρχεται ἡ πλεονεξία καὶ ἀδικία προκαταλαμβάνει, προαναιρεῖ, προαπαγγέλ[λ]ει „πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν", ἵνα

μὴ τῷ ῥεύματι τῶν χρημάτων συρρέουσαν τὴν διάνοιαν τῷ ῥευστῷ χρήματι λαμβάνῃ. εἰ γὰρ ῥεῖ τὰ χρήματα καὶ στάσιν οὐκ ἔχει, εἰκότως ἀνθίσταται ἡ γνώμη, τὴν οἰκείαν στάσιν τῷ ῥευστῷ χρήματι μὴ διαφθείρουσα. καὶ ἐπειδὴ πῇ μὲν ἡ φιλοχρηματία λυπεῖ, πῇ δὲ φιλοδοξία συλῶσα τὴν διάνοιαν τῷ νέφῳ 5 καὶ ἀνθηρῷ τῆς δόξης, ἐσχεδίασε καὶ τοῦτο τὸ πάθος („εἶδον τὸν ἀσεβῆ ἐπαιρόμενον καὶ ὑπερυψούμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν"), ἵνα μηδεμιᾷ ἀκμῇ ῥᾳδίως μαραινομένῃ ὑπηγμένη ἡ διάνοια τὸ ἑαυτῆς μέγεθος πιπράσκῃ, ἀλλ' ὑπερκύπτουσα ταῦτα τοῦ ἔρωτος τῆς ἀληθείας 10 ἔχηται. καὶ διὰ τοῦτο τὴν συμμετρίαν τιμᾷ καὶ τὴν ἀδικίαν ἐξωθεῖ καὶ τὰ θεῖα οἰκητήρια ἀποδίδωσι τοῖς τὴν συμμετρίαν τετηρηκόσι καὶ οὕτως βοᾷ „κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου; πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος διαιοσύνην, λαλῶν ἀλήθειαν ἐν καρδίᾳ 15 αὐτοῦ", ἵνα πᾶν εἶδος φιλοχρηματίας ἐξορίσας τόπον τῇ ἀδικίᾳ μὴ παρέχῃ. καὶ οὕτω πᾶν εἶδος ἐπεξελθὼν ἀνεῖλεν ὁ νόμος. διὰ τοῦτο ὁ κατὰ νόμον φθεγγόμενος ὑπὲρ ἀληθείας φθέγγεται, διὰ τοῦτο οἱ τῆς ἀληθείας ἐργάται οὐκ ἀγανακτοῦσι τῷ νόμῳ κατὰ κακίας φθεγγομένῳ. ἐλάλει ποτὲ κατὰ φιλοχρηματίας ὁ 20 σωτήρ, ἐτραχύνοντο οἱ Ἰουδαῖοι· ἡ γὰρ φιλία τῶν χρημάτων τραχύτητα κατὰ τοῦ λέγοντος εἰργάζετο. ἀμέλει ὅταν παιδαγωγὸς ῥᾳθύμῳ παιδὶ περὶ ῥᾳθυμίας διαλέγηται, μισεῖται παρὰ τοῦ παιδαγωγουμένου· πᾶς γὰρ ὁ τῆς νέας ἡλικίας τὸ πάθος ἐκκόπτων μισεῖται διὰ τὴν φιλίαν τῶν ἡδονῶν. διὰ τοῦτο μεμίσηται 25 παρὰ τῶν αἱρεσιωτῶν ὁ νόμος· ἐπεὶ κατὰ τῶν παθῶν ἐχώρει, κατὰ τῶν ἁμαρτημάτων ἐβάδιζε, κατὰ τῶν φιλουμένων διελέγετο, οὐκ ἤνεγκαν τὸ πρᾶγμα. ἵνα δὲ ἔτι μεγαλοπρεπέστατοι γένωνται ἡμῖν οἱ λόγοι καὶ φανῇ ἡ τῶν αἱρέσεων ἀτοπία κατὰ τοῦ νόμου ἀδίκως βεβαδικυῖα, μὴ μόνον ὅτι πᾶν εἶδος κακίας 30 ἀνεῖλεν ὁ νόμος προσγράφωμεν τῷ λόγῳ, ἀλλ' ὅτι καὶ πᾶν εἶδος ἀρετῆς ὑφηγεῖται καὶ ἐξηγεῖται προσαποδῶμεν τῇ ὁμιλίᾳ. εἰ μὲν γὰρ τὰς κακίας πάσας ἀνεῖλεν ὁ νόμος, οὐ πάσας δὲ τὰς ἀρετὰς ἐνέθηκεν, ἐνέλιπεν ὁ νόμος, λειπόμενος τὴν τῶν ἀρετῶν κατασκευὴν καὶ τὰς μὲν κακίας πάσας ἐξορίσας, μηκέτι δὲ τὰς 35 ἀρετὰς πάσας τῇ ψυχῇ μνηστευόμενος. ἐὰν δὲ παρὰ τοῦ λόγου φανῇ ὅτι παρὰ τῷ νόμῳ καὶ τοῖς προφήταις πᾶσαι κεῖνται αἱ ἀρεταί, πῶς οὐ θαυμάζειν δεῖ καὶ ἀποδέχεσθαι τὸν τοῦ θεοῦ νόμον; τεττάρων γὰρ οὐσῶν τῶν ἀρετῶν, φρονήσεως σωφροσύνης

ἀνδρείας καὶ δικαιοσύνης, ὅλαι παρὰ τῷ νόμῳ φαίνονται αἱ ἀρεταί. διὰ τοῦτο ὁ βουλόμενος εἶναι σώφρων ἔχει τὰ μαθήματα. ὁ σπεύδων εἶναι φρόνιμος, τὰς ἀφορμὰς τοῦ νόμου λαβών, ἀριστεύει ἐν τῷ πράγματι. ὁ βουλόμενος εἶναι ἀνδρεῖος
5 ἀλειφέσθω ταῖς παραγγελίαις. ὁ σπουδάζων δικαιοσύνης ἅψασθαι τὸ στάθμιον τῆς δικαιοσύνης κρατείτω καὶ οὐδὲν ἄνισον πράξει, σταθμῷ δικαιοσύνης τὰ πάντα πράττων. καὶ φρονήσεως μὲν ἐν μεθέξει γιγνόμενος λεγέτω „ὁ θεὸς ἐδίδαξέ με σοφίαν καὶ φρόνησις ἀνθρώπων οὐκ ἔστιν ἐν ἐμοί", ἵνα τὴν πεπλασμένην
10 ταύτην καὶ πεπλανημένην ἐξωθήσας, τὴν ἀρίστην καὶ θείαν ἀσπάσηται. σωφροσύνης δὲ ὑποδείγματα μυρία εὑρήσει ζητῶν ὁ ἀναγινώσκων, τὰ ὑποδείγματα ἐκτυπῶν καὶ ἄλειμμα σωφροσύνης τὰ παλαιὰ ὑποδείγματα δεχόμενος, τὸν νεανίαν ἐκεῖνον τὸν ἀκμαῖον τὸν ἀπὸ τῶν ἀδελφῶν δεδομένον καὶ ἀπὸ τοῦ Αἰ-
15 γυπτίου ἐωνημένον, τὸν τὴν ἐλευθερίαν τοῦ σώματος μεταβαλόντα, ἀμετάβλητον δὲ τὴν ἐλευθερίαν τῆς ψυχῆς διατετηρηκότα, τὸν ἀποδυσάμενον τὰ ἱμάτια ἵνα μὴ τὴν σωφροσύνην ἀποδύσηται, τὸν βίᾳ μὲν τὰ ἱμάτια ἀφαιρεθέντα, ἐξ ἀνάγκης δὲ σωφροσύνης μὴ ἀποσπασθέντα, τὸν παθεῖν ἑλόμενον ἵνα μὴ τῷ πάθει
20 τῆς ἡδονῆς πέσῃ, τὸν ἀντὶ πάθους τῆς ἡδονῆς ἐν τάξει τῶν δεσμίων γεγονότα, τὸν ἑλόμενον δεσμώτην εἶναι ἵνα μὴ δέσμιος τῆς ἡδονῆς εὑρεθῇ, τὸν τὸν φθόνον τῆς αἰσχρᾶς πράξεως προκρίναντα, τὸν νομισθῆναι ὃ μὴ ἦν βουληθέντα· κάλλιον γὰρ ἐλογίσατο τὸ νομισθῆναι αἰσχρὸν ἢ εἶναι καὶ λανθάνειν· γινό-
25 μενος γὰρ καὶ λανθάνων ἐδεδίει μάρτυρα τὸν θεόν, νομισθεὶς δὲ ἠρκεῖτο τῷ ἐπόπτῃ μαρτυροῦντι τοῖς γιγνομένοις. καὶ τῆς μὲν σωφροσύνης ὑπόδειγμα τοῦτο, τῆς δὲ ἀνδρείας πολλὰ μὲν καὶ ἄλλα, ἱκανὸν δὲ τὸ τῆς Ἰουδίθ, ὅτι γύναιον ἦν καὶ ἀσθενὲς ἦν καὶ ἄτολμον ἦν, ἐπεὶ γύναιον ἦν, εὔτολμον δὲ καὶ ἀνδρεῖον,
30 ἐπεὶ πιστὸν ἦν, ὅτι τὰ ἀδύνατα ταῖς προσδοκίαις τῶν ἀνθρώπων δυνατὰ τῇ ἀνδρείᾳ ἀποδέδωκεν, ὅτι τὰ ἀπροσδόκητα εἰς πίστιν καὶ ἐλπίδα ἤγαγεν, ἀνδρείᾳ πίστει κεκρατηκυῖα. τὰ γὰρ τειχία ἀνεῴγνυντο καὶ ἐξῄει ἡ νεᾶνις καὶ μετὰ παιδίσκης μόνης ἐξῄει, οὐ τὸ ὕποπτον τοῦ κάλλους δειλιῶσα, οὐ τὰ ξίφη εὐλαβουμένη,
35 οὐ φοβηθεῖσα μὴ λαγνεύσῃ, μὴ βίᾳ ἀκολασίαν ὑπομείνῃ, μὴ δειλιῶσα μή τι ἀπὸ ξίφους ἐξαπίναιον πάθῃ, ἀλλὰ τὸ μὲν φοβερὸν τοῦ ξίφους τῇ ἀνδρείᾳ νικῶσα, τὸ δὲ κάλλος τῷ θεῷ παρατιθεμένη. ἀξιόπιστον γὰρ τὸν θεὸν φύλακα ἡγεῖτο τοῦ κάλλους, φρύγανα δὲ καὶ πάπυρον τὰ ξίφη ἐλογίζετο, πεπατη-

κυῖα τῷ φρονήματι τῆς ἀνδρείας τὴν δειλίαν. καὶ παρῆλθεν ἡ γυνὴ καὶ τολμηρὸν οὐκ ἐκρίθη οὐδὲ τραχύτητος ἔγκλημα ὑπέμεινεν. οὔτε γὰρ ἀτελῆ τὰ κριθέντα, ἵνα τραχύτητος ἐγκληθῇ. πεπεραίωκε τὰ βεβουλευμένα. εἰς πέρας ἤχθη τὰ ἐσκεμμένα. διὰ τοῦτο θαυμάζεται, ὅτι φρόνησιν ἀνδρείᾳ ἔμιξεν, ὅτι ὅσα 5 ἐβουλεύσατο εἰς πέρας ἠγάγετο. καὶ τῆς ἀνδρείας ταύτης ὑπόδειγμα λαβόντες, καὶ τῆς δικαιοσύνης ληψόμεθα, ὅταν ἀμύνηται μὲν Ἀβραὰμ καὶ ὑπερμαχήσηται τῶν ἀδικουμένων καὶ βοηθήσας ἀκούσῃ παρὰ τῶν ἐλευθερωθέντων „λάβε τὸν ἵππον καὶ πάντα σεαυτῷ" καὶ ταῦτα ἀκούων μὴ πρὸς τὸν χρηματισμὸν βλέπων, 10 ἀλλὰ πρὸς τὸ δίκαιον ἀτενίζων καὶ συγγινώσκων ὅτι δωρεὰν ἔλαβε καὶ πῶς πωλῆσαι τὴν δωρεὰν οὐκ ὀφείλει, ὅτι χάρισμα πιπράσκεσθαι οὐκ ἀνέχεται, ὅτι ἄδικοι οἱ τὰς δωρεὰς ἀποδεδομένοι εἰσίν, ὅτι οὐ δικαίως τὰ ὤνια καὶ τὰς εὐεργεσίας πωλεῖ τις. ἱμάτιον καὶ κειμήλιον ἐπ' ἀγορᾶς πιπρασκέσθω, ἄπρατος 15 δὲ ἡ εὐεργεσία μενέτω τῷ μεγαλοψύχῳ τῆς διανοίας προῖκα τῷ δεομένῳ διδομένη. καὶ τοιοῦτον ἔχομεν τῆς διανοίας ὑπόδειγμα, ὅτι τὰς δωρεὰς καὶ τὰς εὐεργεσίας μεγάλου χρήματος πιπράσκεσθαι οὐ δεῖ, ἀλλὰ τηρεῖν τὴν ἑκάστου τιμήν, μὴ προδιαφθειρόμενον τῇ δόσει τῶν χρημάτων. καὶ ταῦτα μὲν οὕτως 20 ἐπεξελθόντες κατεσκευάσαμεν ὅτι πάντα ἐν νόμῳ κεῖται, καὶ κακίας ἀναίρεσις καὶ ἀρετῆς κατόρθωσις. καὶ τούτων ὄντων ἱκανῶν πρὸς ἐντροπὴν καὶ δυσώπησιν, καὶ τί τὸ ὅμοιον ἀποδίδομεν. εἰ γὰρ μηδὲν εἶχεν ὁ νόμος ἴσον τοῦ εὐαγγελίου, τοῦ ἀνομοίου ἡ κατηγορία ἦν. εἰ δὲ ὁμοιότης ἐστί, τί ἐπὶ τῆς 25 ὁμοιότητος διαφερόμεθα, τῆς ὁμοιότητος διαφέρεσθαι μὴ ἀνεχομένης; βοᾷ ὁ χαρακτὴρ τὴν συγγένειαν, ἡ ὁμοιότης τὴν ἀδελφότητα σημαίνει. πρὸς ἕνα τῶν ἄλλων ἁπάντων αἴτιον, πατέρα δὲ τοῦ σωτῆρος ἐφέλκουσι τὴν διάνοιαν. εἶπεν ὁ νόμος „ἄκουε, Ἰσραήλ, κύριος ὁ θεός σου κύριος εἷς ἐστιν". εἶπε τὸ εὐαγγέλιον 30 „οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός". ἐβόησεν ὁ Παῦλος „εἷς θεός, ἐξ οὗ τὰ πάντα". καὶ νενόηται ὁ ἀγέννητος καὶ ἀπάτωρ ἐκ νόμου καὶ σωτῆρος καὶ τοῦ ἀποστόλου. γέννημα δὲ ἦν καὶ γέννημα ἐκ κόλπων καὶ υἱὸς τοῦ γεγεννηκότος. καὶ συνῳδὰ πάλιν τὰ γράμματα. „ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε" ὁ νόμος 35 λέγει. „ὁ μονογενὴς υἱὸς θεός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο" τὰ εὐαγγέλια διηγοῦνται. κόλπος ἀπὸ τῶν εὐαγγελίων καὶ γαστὴρ ἀπὸ τοῦ νόμου λελάληται. καὶ υἱὸς γνήσιος, ὅμοιος τῷ γεγεννηκότι, ἐκ γαστρὸς καὶ κόλπων

καταγγέλ[λ]εται. καὶ μαρτυρεῖ μὲν ἡ τοῦ κυρίου φωνὴ „οὗτός ἐστιν ὁ υἱός μου ὁ μονογενὴς καὶ ἀγαπητός, ἐν ᾧ ἐγὼ εὐδόκησα“, μαρτυρεῖ δὲ καὶ ὁ ψαλμῳδὸς „υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε“. καὶ μία φωνὴ καὶ τότε καὶ νῦν προσενεχθεῖσα
5 καὶ εἷς ὁ λαλήσας, φθεγξάμενος μὲν τότε, ἄρτι δὲ ὡμιληκώς. καὶ οὐκ ἐναλλάττεται ὁ εἰρηκώς. ὀψὲ γάρ ποτε τὴν τοιαύτην ἀφεὶς φωνήν, ἤδη προφθάσας καὶ προειρηκὼς ἐν τοῖς ψαλμοῖς ηὑρίσκετο. καὶ παραγγελία μὲν ἀπὸ τοῦ πατρὸς πρὸς τὰς θείας δυνάμεις ὑπηρετεῖν τῷ υἱῷ καὶ τὸ σέβας καὶ τὴν προσκύνησιν
10 αὐτῷ ἀποδιδόναι (γέγραπται γὰρ „καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ“), συγκεχώρηκε δὲ τῇ παραγγελίᾳ ὁ Παῦλος, μᾶλλον δὲ ταύτην ἐπεξεργάζεται καὶ διερμηνεύει καὶ σπουδάζει τοῦ προειρημένου καὶ προγεγραμμένου γίνεσθαι ἑρμηνεύς. ὅταν γὰρ εἰσάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην λέγει „καὶ
15 προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ“. καὶ ὄψει τὸν ἀπόστολον ἐσπουδακότα ἑρμηνεύειν τὰ παλαιά, διηγεῖσθαι τὰ ἐν τῷ νόμῳ, μὴ ἀμελοῦντα, ἀλλὰ ποτὲ μὲν λέγοντα „πάντα ὑπέταξεν ὑποκάτω τῶν ποδῶν αὐτοῦ“, εὐθὺς δὲ ἐπεξηγούμενον „ὅταν δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑπο-
20 τάξαντος αὐτῷ τὰ πάντα οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον, ἵνα ᾖ ὁ θεὸς τὰ πάντα ἐν πᾶσι“, ποτὲ δὲ λέγοντα „ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα. τὸ μυστήριον τοῦτο μέγα ἐστίν. ἐγὼ δὲ λέγω εἰς χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν“. καὶ ἑρμηνεῖς μὲν οἱ ἀπόστολοι τῶν παλαιῶν,
25 σύμφωνα δὲ τὰ παλαιὰ τοῖς νέοις. ἀλλ' ὅσοι μὲν ἀπόστολοι ἑρμηνεύουσιν, ὅσοι δὲ οὐκ ἀπόστολοι διαβάλλουσι. μὴ ποιοῦντες γὰρ ὃ ποιοῦσιν οἱ ἀπόστολοι, ἀλλὰ μαχόμενοι τῷ ὑπ' ἐκείνων γεγραμμένῳ, ψεύδονται τὴν ἀποστολήν, ψευδοπροφῆται ὄντες. ἰδοὺ γὰρ οἱ τῆς ἀληθείας εἰσηγηταὶ τὸν νόμον τετιμη-
30 κότες τὸν νόμον ἐξηγήσαντο. οὗτοι δὲ τὸν νόμον διαβεβληκότες τῷ νόμῳ διαπληκτίζονται καὶ πρὸς τοὺς ἐξηγησαμένους τὸν νόμον. καὶ ἴσην μὲν οἱ ἀπόστολοι τὴν ὁμοιότητα τοῦ εὐαγγελίου καὶ τοῦ νόμου γινώσκουσι καὶ τὸν νόμον λαβόντες τὸ εὐαγγέλιον βλέπουσι καὶ εἰς τὸ εὐαγγέλιον παρακύπτοντες τὸν νόμον οὐκ
35 ἀναιροῦσιν, οὗτοι δὲ τὰ ὅμοια ἀεὶ ἀνόμοια ἡγησάμενοι καὶ τὰ φίλα ἑαυτοῖς καὶ ἀδελφὰ ἄφιλα καὶ ἄσπονδα ὁμολογοῦντες, κακίας μὲν ἔλεγχον οὐ φεύγουσι, διιστᾶν δὲ καὶ διαιρεῖν τὰ ὅμοια ἐσπουδακότες, μὴ δυνάμενοι δὲ διαιρεῖν, ἐπεὶ οὐκ ἀνέχεται ὁ νόμος τοῦ εὐαγγελίου διαιρεῖσθαι, τῆς βασκανίας ἑαυτῶν

τὴν ἐπιτιμίαν ἐκαρπώσαντο. ἰδοὺ γὰρ ὅσα περὶ πατρὸς ἐν νόμῳ, ταῦτα καὶ ἐν τοῖς εὐαγγελίοις κεῖται. ὅσα περὶ υἱοῦ, ταῦτα ἐν ἀμφοτέροις εἴρηται. ὅσα περὶ πνεύματος ἁγίου, ταῦτα ἐν ἀμφοτέροις εὑρεῖν δυνησόμεθα. οὐδὲ ὁπότερον γὰρ γράμμα τοῦ πνεύματος τοῦ ἁγίου ἀμνημονεῖ, ἀλλ' ἐν μὲν τῷ εὐαγγελίῳ 5 ἡ δωρεά, ἐκεῖ δὲ καὶ ἡ αἴτησις. καὶ ποτὲ μὲν λέγει ὁ Δαυὶδ „τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ", ποτὲ δὲ τὸ εὐαγγέλιον „λάβετε πνεῦμα ἅγιον", ἵν' ὃ μὲν ἔχει μὴ ἀφαιρεθῇ, ὃ δὲ χαρίζεται οὗτος ἔχῃ λαβών. καὶ τῇ συνουσίᾳ τοῦ ἁγίου πνεύματος τιμῶνται αἱ ψυχαί, μήτε ἀποσπώμεναι τῆς συνουσίας 10 μήτε δίχα τῆς συνουσίας διατελοῦσαι. καὶ δυνήσεταί τις περὶ ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν ἄλλων ἐξουσιῶν καὶ περὶ ἀνθρώπου καὶ γῆς καὶ τῶν ἄλλων δημιουργημάτων ἐπεξεργασάμενος τὴν ὁμοιότητα τοῦ τε νόμου καὶ τοῦ εὐαγγελίου θεωρῆσαι καὶ οὕτω κατιχνεύων μέχρι τοῦ ἐλαχίστου φθάσαι. ἡμεῖς δὲ 15 τὸν τηλικοῦτον ὄγκον παραιτούμεθα, μόνον τῇ ὑποθέσει χρησάμενοι καὶ τοὺς φιλομαθεῖς ἐκκαλούμενοι τῆς ὑποθέσεως ἀψαμένους ἐπὶ πάντα τὰ θεωρήματα χωρεῖν. ὅπερ δὲ μετά τινος κατηγορίας καταιτιῶνται οἱ αἱρεσιῶται, τοῦτο μόνον προσγράψωμεν τῷ λόγῳ, ἵνα καὶ τὴν αἰτίαν ἐκείνων λύσωμεν καὶ τοῦ 20 νόμου τὰς διαθέσεις κατοπτεύσωμεν. εἰ γὰρ ἐκεῖνοι τὴν αἰτίαν τῶν γραμμάτων ἀναγινώσκοντες ὑβριστικῷ στόματι κέχρηνται, ἀλλ' ἡμεῖς καὶ τῇ ὁμοιότητι δυσωπήσωμεν αὐτῶν τὴν ἄνοιαν καὶ τὴν αἰτίαν παραθέσθαι μὴ παραιτησώμεθα. ἐγκαλοῦσι γὰρ τῷ παλαιῷ νόμῳ ὡς τραχεῖ καὶ ἀπηνεῖ, ἐγκαλοῦσι καὶ τοῖς 25 παλαιοῖς ὑπηρέταις ὡς αὐστηροτέροις καὶ μᾶλλον πρὸς τὴν ἐπιτιμίαν ῥέπουσι καὶ στοργῆς ἐλέους ἀπηλλαγμένοις, μὴ νοοῦντες τὸ γεγραμμένον „ἔλεον καὶ κρίσιν ᾄσομαί σοι κύριε" μήτε εἰδότες ὅτι ἡ τελειότης τῆς οἰκονομίας ἐξ ἐλέους καὶ ἐπιτιμίας ἤρτηται, καὶ διὰ τοῦτο ἀμβλυωποῦντες σιωπῶσι τοὺς οἰκτιρμοὺς τοῦ 30 νόμου, μᾶλλον δὲ τῶν ἐπιτιμήσεων μνημονεύουσι καὶ ἄνω καὶ κάτω βοῶσιν. οὐχ ὁρᾶτε, φησίν, ἵνα παιδία λοιδορήσωσι τὸν Ἐλισσαῖον, κατηρᾶτο καὶ δυσὶν ἄρκοις ἔκδοτα παρεδίδου τὰ νήπια, βορὰν καὶ θοίνην παρεσκευακὼς ταῖς ἄρκοις τὰ παιδία. οὐχ ὁρᾶτε, φησίν, ἵνα τινὲς ἄκοντες στρατιῶται ἀπὸ τοῦ ἐπι- 35 τάττοντος ἀποσταλῶσι καλέσαι τὸν Ἡλίαν, βαδίσαι μὲν ὤκνησε καὶ φθάσαι παρῃτήσατο, πῦρ δὲ κατήνεγκε καὶ τοὺς ἄνδρας ἐδαπάνα καὶ ἀνήλισκε, λέγων „εἰ ἄνθρωπος τοῦ θεοῦ εἰμι ἐγώ, καταβήσεται πῦρ ἀπὸ τοῦ οὐρανοῦ καὶ καταφάγεταί σε καὶ τοὺς

πεντήκοντά σου". καὶ ἐπειδὴ τοιαύτας αἰτίας καὶ τοιαύτας ἐπιτιμίας ἐν τάξει πονηρίας καὶ κακίας τίθενται, τί ἐροῦσι περὶ Παύλου; ὅστις ποτὲ τὸν λεγόμενον Βαριησοῦν τὸν μάγον ἐπὶ Σεργίου Παύλου ἀνθυπάτου, ὡς κακοτεχνίαις τοῦ λόγου στρεφο-
5 μένην τὴν διάνοιαν τῶν παιδευομένων ἑώρα, οὐκ ἤνεγκεν, ἐπετίμησε, στέρησιν τῶν ὀφθαλμῶν εἰργάσατο, ἐβόησεν „ὦ πλήρης δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς κυρίου τὰς εὐθείας; καὶ ἰδοὺ χεὶρ κυρίου ἐπὶ σὲ καὶ ἔσῃ τυφλός, μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ". τί δὲ
10 ἐροῦσι περὶ τοῦ Πέτρου; ὅτε Ἀνανίας καὶ Σάπφειρα πωλήσαντες κτημάτιον ἐνοσφίσαντο μέρος, μέρος δὲ κεκομίκασιν, ὅτι κρίνας καὶ ἐλέγξας τὸν μὲν Ἀνανίαν νεκρὸν ἔδειξε, τὴν δὲ Σάπφειραν τῷ αὐτῷ μνηματίῳ παραδέδωκεν. ἔκειντο γὰρ νεκροί, λόγῳ ἀνῃρημένοι, κἀκεῖ μὲν τὸ πῦρ κομισθὲν ἀνήλισκε τοὺς ἀφικο-
15 μένους, ὧδε δὲ λόγος προελθὼν ἐν ὄψεσι τῶν μαθητευομένων νεκροὺς ἔδειξε τοὺς τὴν πίστιν κεκαπηλευκότας. κἀκεῖ μὲν Ἐλισσαῖος θηρσὶ τὰ σώματα τῶν νηπίων ἐδίδου, ὧδε δὲ Παῦλος ἀφῄρει τὴν βλέψιν τῶν ὀμμάτων καὶ τυφλὸν τὸν βλέποντα εἰργάζετο. καὶ τοιαῦτα πράττοντες τὰς ἐπιτιμίας δεδώκασιν. εἰ
20 οὖν ἐπὶ ἀτόποις ἡ ἐπιτιμία λα[μ]βάνεται, ἄτοποι Πέτρος καὶ Παῦλος· εἰ δὲ καλοί εἰσιν ὅτι ἀπόστολοί εἰσι καὶ καλοί εἰσιν ὅτι ἐπιτετιμήκασι, τί διαβάλλεις τὰς ἐπιτιμίας, καὶ τῶν ἀποστόλων ἐπιτιμίαις χρησαμένων; εἰ τοὺς μὲν ἀποστόλους ἀποδεχόμεθα, τὰς δὲ ἐπιτιμίας μεμφόμεθα, οὐ κατὰ πρόσωπον οἱ νόμοι
25 κρίνουσι τὰ πράγματα ἢ δικάζουσιν, οὐ πρὸς τὰ πρόσωπα ἐρεσχολοῦσι, τῇ δὲ τῶν πράξεων ὁμοιότητι συντρέχουσιν. ἀλλά, φησίν, ἐλεήμων ὁ υἱός, ἐλεήμων ὁ τὰ εὐαγγέλια γεγραφηκώς, καὶ ὁ ἐλεήμων γέννημά ἐστι τοῦ ἐλεήμονος, ὁ δὲ νόμος τραχύς, οὐ συγγινώσκων τοῖς ἡμαρτηκόσι, σπλάγχνον δὲ ἔχει τὸ εὐαγγέλιον,
30 συστέλλον μὲν τὰς πλημμελείας, κηρύττον δὲ τὰς μετανοίας. ἰδοὺ γὰρ ὁ σωτήρ, λέξουσι, καὶ Πέτρου ἀρνησαμένου ἐφείσατο καὶ ἁμάρτημα τηλικοῦτον πεπλημμεληκότα παρίστησι καὶ ἁπλῆν τὴν φιλανθρωπίαν προσπεποίηται, ὑπόδειγμα τὸν ἄνδρα παντὶ τῷ βίῳ καταλελοιπώς, ἵνα τῆς ἑαυτοῦ φιλανθρωπίας εἰκόνα
35 ἐκεῖνον παράσχῃ. τί οὖν ὁ νόμος; ἆρα ἀπορεῖ τῆς μιμήσεως καὶ κατάλληλον εἰκόνα οὐκ ἔχει; καὶ Πέτρος μὲν σπουδαῖος ὢν καὶ σφαλεὶς ἀφέσει καὶ συγχωρήσει τετίμηται, οὐδεὶς δὲ ἐν τῷ νόμῳ πλημμελήσας καὶ μέγα πλημμελήσας τῇ μετανοίᾳ τὴν ἄφεσιν ἐμνηστεύσατο; εἰ μὲν γὰρ ἀγνοοῦσιν, ἐροῦμεν τὸ γεγραμμένον „ἐλέησόν

με, ὁ θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα". εἰ δὲ ἴσασι, τῇ κακομυθίᾳ ἐχεμυθοῦσιν. ἀδελφὰ οὖν τὰ πράγματα, ὅμοιαι αἱ εἰκόνες. καὶ ὧδε μὲν Πέτρος, ἐκεῖ δὲ ὁ ἱεροψάλτης, ὅπως καὶ μεγάλων ἀνθρώπων πτώματα μεγάλοις καὶ συγχωρήσεσιν ἰαθῇ. καὶ τοῖς μεγάλα ἡτοπηκόσι μέγας καὶ ὁ γενόμενος ἔλεος. εἰ μὲν οὖν θαυμάζουσι τὰ εὐαγγέλια ὅτι Πέτρος ἠλεήθη, θαυμαζέτωσαν ὅτι καὶ Δαυὶδ ἠλέηται, εἰ δὲ αἰτιῶνται ὅτι μετὰ τοσάδε οὐκ ἀφείθη ὁ Δαυίδ, οὐδὲ φεύξεται δι' αὐτοὺς τὴν αἰτίαν οὐδὲ ὁ Πέτρος. καὶ δόξει μὲν κατὰ μόνου Δαυὶδ εἶναι ἡ αἰτία, τῇ δὲ δυνάμει κατηγορηθήσεται καὶ ὁ Πέτρος τῇ αὐτῇ κατηγορίᾳ. εἰ δὲ φήσουσιν ὅτι καλὴ μὲν ἡ συγχώρησις, μέχρι δὲ ἑνὸς ἡ συγχώρησις τοῦ παλαιοῦ νόμου ἔφθασε, πληθὺς δὲ ἐνταῦθα συγχωρήσεως καὶ πέλαγος ἀφέσεως καὶ φωνή ἐστι βεβοηκυῖα „δεῦτε πρός μέ, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς", ἀναγνώτωσαν τὰ παλαιὰ καὶ θαῦμα τῶν γεγραμμένων λαμβανέτωσαν. εἰ δὲ δι' ἀμελετησίαν τοῖς γράμμασιν ἐντυχεῖν οὐκ ἀνέχονται, κἀνταῦθα τῆς αἰτίας ταύτης ἀπαλλαττέτωσαν. ὁ σωτὴρ λέγει „δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς", οὐδένα παρείς, μηδένα ἀπολιπών, πάντας περιλαβών. ὁ δὲ ἱεροψάλτης λέγει „πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας". καὶ πάλιν „ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην οἵ τε γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης". πάντες ἐξ εὐαγγελίου, πάντες ἐκ νόμου κεκίνηνται. οὐδένα παραλέλοιπε τὸ εὐαγγέλιον, οὐδένα ἀφῆκεν ὁ νόμος. ἐβόησε τὸ εὐαγγέλιον „μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν". πρὸς πάντας ἀφῆκε τὴν ὁμιλίαν ταύτην, πταίουσι διελέγετο, ἐσφαλμένοις ὡμίλει, ἤδη θάνατον ὀφείλουσιν ἐφθέγγετο, ἐλευθερίαν διὰ τοῦ κηρύγματος προεμνηστεύετο. ἐπεδήμησε καὶ Ἰωνᾶς ἐν τῇ Νινευΐ, ἐν πόλει οὐ μικρᾷ, ἐν ἔθνει πολυανθρώπῳ. τὴν ἀπειλὴν ἔδειξε, τὴν ἐπιτιμίαν οὐκ ἐσιώπησεν, ἐβόησε πληκτικῶς τῷ λόγῳ, εἶδε τοὺς ἄνδρας, εἰς μετάθεσιν ἤνεγκεν, ἀπολύτους τῆς ἁμαρτίας εἰργάσατο, ἡ προκατηγγελμένη ἐπιτιμία ᾤχετο, ἔλεος διεδέχετο, τὸ ζητούμενον γέγονεν. οὐ γὰρ ἡ τῶν ἀνθρώπων ἀναίρεσις ἐζητεῖτο, ἀλλ' ἡ τῶν τρόπων μεταβολὴ ἠρευνᾶτο. καὶ ἐπειδὴ γέγονε τὸ ζητηθὲν καὶ μετεβλήθησαν οἱ

ἄνδρες, ἐφάνη τοῦ φιλανθρώπου ἡ δωρεά, ἐβόησε συνηγορῶν ὁ δικάζων, εἶπε τῷ ἑαυτοῦ οἰκέτῃ „εἰ σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας, ἣ ὑπὸ νύκτα ἐγένετο καὶ ὑπὸ νύκτα ἀπώλετο, ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευὶ τῆς πό-
5 λεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνδρῶν καὶ κτήνη πολλά;" καὶ φειδοῦς ἦν θεὸς καὶ φανερὸς ἦν ὁ φθεγγόμενος ὁ νῦν μὲν ταῦτα εἰρηκώς, ἐν δὲ ἑτέρῳ προφήτῃ βεβοηκὼς „οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν", ὁ ὑπὸ τῶν ἐπισταμένων ὑμνεῖν
10 δοξολογούμενος „οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος, μακρόθυμος καὶ πολυέλεος". τηλικοῦτον γὰρ πέλαγός ἐστιν οἰκτιρμῶν παρὰ τῷ θεῷ, ὡς καὶ τὴν ἐλαχίστην καὶ βραχυτάτην καὶ τῶν πάνυ φαυλοτάτων πρὸς μετάνοιαν ῥοπὴν μὴ ἀτίμητον ἐᾶσαι. σχεδὸν γὰρ εἰς πέρας κακίας ἐληλακότος τοῦ Ἀχαὰβ καὶ ὀλίγως πως
15 κατανυγέντος, τετίμηκεν ὁ θεὸς καὶ ἔδειξε τῷ οἰκέτῃ τὸ πρᾶγμα καὶ συνέστειλε τὴν ἀπειλήν, χρόνον τῆς ἐπιτιμίας μεταξὺ καταλιμπάνων. „εἶδες (φησί) πῶς κατενύγη Ἀχαάβ; οὐ μὴ ἐπάξω τὰ κακὰ ἐν ταῖς ἡμέραις αὐτοῦ, ἀλλ' ἐν ἡμέραις ἄλλαις", ἵνα καὶ τὴν ἐλαχίστην ῥανίδα τῆς μετανοίας τιμήσῃ τῇ πρεπούσῃ τιμῇ
20 ὁ θεός. καὶ ταῦτα μὲν μέχρι τούτου προειρηκότες κατελήξαμεν, ἵνα καὶ ὁ περὶ νόμου λόγος μὴ παντελῶς ἀγύμναστος καταλελειμμένος ὑπάρχῃ, μόνον τοῦτο προσγεγραφηκότες ὅτι „σκιὰ νόμος τῶν μελλόντων ἀγαθῶν". καὶ γὰρ παιδαγωγὸς συμπράττει τῷ παιδὶ καὶ τῇ νέᾳ ἡλικίᾳ, μέχρις οὗ ὁ διδάσκαλος τὴν ἕξιν
25 παραλαβὼν τοῖς μαθήμασι τοῖς μείζοσι παραδῷ. καιριώτερον γάρ τις δυνήσεται, ταύτην ἰδίαν ὑπόθεσιν θέμενος, κατασκευάσαι, πῶς μὲν „διὰ Μωσέως ὁ νόμος, ἀπὸ δὲ κυρίου ἡ χάρις καὶ ἡ ἀλήθεια ἐγένετο", ἡμεῖς δὲ καὶ τῶν ἑτέρων ἐπιχειρήσεων τοῦ ἐκτρώματος ἐφαψώμεθα, τὴν ἄλλην ἄτοπον αὐτοῦ δόξαν ἐν τοῖς
30 λογίοις παρατιθέντες καὶ ταῖς ἐξετάσεσι γυμνοῦντες, ὅπως (εἴγε οἷόν τε ἐστί) τὰς αἱρεθείσας διανοίας τῆς ἀλόγου δόξης ἐξυφαιρῆσαι δυνηθῶμεν. ἐξέτεινε γὰρ ἑαυτὸν καὶ μέχρι τοῦ δημιουργήματος, καὶ τοῦτο τὸ φαινόμενον ποίημα τοῦ ἀπατεῶνος εἶναι ποίημα βούλεται καὶ εἶναι τὸν ἄνθρωπον πλάσμα τοῦ πονηροῦ
35 καὶ εἶναι μὲν τὴν ψυχὴν ἀπὸ θεοῦ, εἶναι δὲ παρὰ τοῦ πονηροῦ ἡρμοσμένην, καὶ γεγονέναι τὸν ἄνθρωπον τὴν μὲν οὐσίαν τοῦ σώματος ἀπὸ τῆς οὐσίας εἰληφότα τοῦ πονηροῦ, τὴν δὲ οὐσίαν τῆς ψυχῆς ὡς σκῦλον ἢ λάφυρον ἀπὸ θεοῦ ληφθεῖσαν, ὑπὸ δὲ τοῦ πονηροῦ λαφυραγωγηθεῖσαν. οὕτως ἔκ τε τῆς λαφυραγω-

γηθείσης καὶ τῆς οὐσίας τοῦ πονηροῦ γεγονέναι τὸν ἄνθρωπον
ἐκ ψυχῆς καὶ σώματος, καὶ τῆς μὲν ψυχῆς μὴ αἴτιον εἶναι τὸν
πονηρὸν μήτε πεποιηκέναι οὐσίαν ψυχῆς, τῆς δὲ εἰσκρίσεως
μόνης τῆς ἐν σώματι ἐνεργὸν εἶναι. σκυλεύσας γάρ, ὥς φασίν,
εἰσέκρινε τῇ σαρκί, τὴν δὲ σάρκα αὐτὴν καὶ τὴν πλάσιν αὐτὴν
καὶ τὸν χαρακτῆρα καὶ τὴν τοιάνδε μορφὴν καὶ τὴν οὐσίαν
ὅλην ἔργον εἶναι καὶ πλάσιν τοῦ ἀπατεῶνος. ἐξ ἐναντίων γοῦν
γεγονέναι τὸν ἄνθρωπον ὁμολογοῦντες οὐδὲ τὸν τῶν ἐναντίων ἴσασι
λόγον οὐδὲ ὅτι ἔστι τινὰ τῶν ἐναντίων, ἅτινα ἀμιγῆ ἐστιν ἐν
αὐτοῖς, μηδεμίαν πρὸς ἑαυτὰ μῖξιν καὶ κοινωνίαν δέξασθαι δυνά-
μενα, ἀλλὰ τῇ νομιζομένῃ κοινωνίᾳ ἀναιρέσεως ἑαυτῶν ὄντα
αἴτια, μὴ δυνάμενα ὁμοῦ εἶναι, ἀλλὰ τοῦ ἑτέρου ἀναιρουμένου
διὰ τὴν τοῦ ἑτέρου ἐπικράτησιν. ἰδοὺ γὰρ ἐν ἑνὶ κοιτωνίσκῳ
ἡμέρα καὶ νὺξ οὐκ ἂν εὑρεθείη, ἐπεὶ μόνον φῶς εὑρεθὲν προ-
αναιρεῖ τὸ σκότος. ἰδοὺ ἐν μιᾷ ψυχῇ σωφροσύνη καὶ πορνεία
οὐκ ἂν φανείη, ἐπεὶ μόνη σωφροσύνη φανεῖσα ἐκ ποδῶν γενέ-
σθαι τὴν πορνείαν ποιεῖ. ἰδοὺ θεοσέβεια καὶ ἀσέβεια ἐν ἑνὶ
ἀνθρώπῳ οὐκ ἂν γένοιτο· ὅπου γὰρ εὐσέβεια φαίνεται, οὐδὲ
ῥανὶς ἀσεβείας φανείη. ἐπικρίνει δὲ καὶ ὁ ἀπόστολος καὶ σφρα-
γίζει τὰ εἰρημένα· „τίς κοινωνία φωτὶ πρὸς σκότος; τίς μερὶς
χριστῷ πρὸς Βελίαρ;“ τὰ γὰρ ἑαυτοῖς ἐναντία φίλα ἑαυτοῖς οὐκ
ἂν γένοιτο. καὶ μίαν ἁρμονίαν οὐκ ἂν ποιοῖ τὰ ἑαυτῶν διεστη-
κότα. οὐδὲ γὰρ ἔκ τε ῥυθμοῦ καὶ ἀρρυθμίας μία γίνεται ἁρ-
μονία οὔτε ἐκ σιωπῆς καὶ λαλιᾶς μία γίγνεται σύστασις. μόνον
γὰρ τὸ ἓν εἶναι ὀφείλει, τοῦ ἑτέρου συστῆναι οὐκ ἀνεχομένου.
εἰ δὲ τὸ σῶμα ἦν τοῦ πονηροῦ καὶ ἡ ψυχὴ τοῦ θεοῦ, πῶς εἰς
μίαν ἁρμονίαν τοῦ ἀνθρώπου ἀποδέδοται; πῶς εἰς μίαν διάθεσιν
καὶ φιλίαν; ἰδοὺ γὰρ ἥρμοσται καὶ γέγονεν εἷς ἄνθρωπος καὶ
τῇ ἁρμονίᾳ ἔστιν εἷς. ἰδοὺ ἡ ψυχή ἐστι τοῦ σώματος καὶ φιλεῖ
καὶ στέργει. „οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ᾽
ἐκτρέφει καὶ θάλπει αὐτήν“. εἰ δὲ δὴ τῷ ἑτέρῳ μέλλει περὶ
τοῦ ἑτέρου καὶ τὴν ἀλγηδόνα τοῦ σώματος ἰδίαν ἀλγηδόνα
ἡγεῖται ἡ ψυχὴ καὶ οὐ διαιρεῖται τῶν παθημάτων, ἀλλ᾽ οἰκει-
οῦται πρὸς τὰ τραύματα, οἰκειοῦται πρὸς τὰ παθήματα, καὶ
ὅτε μὲν ἀλγῇ, τραυμάτων ἕνεκεν ἀνιᾶται, ἀνώδυνος εἶναι μὴ
δυναμένη, ὅτε δὲ ἡδυπαθῇ, καὶ ὑπὸ τῆς ἡδονῆς ἐρεθίζεται:
μετέχει τῶν κινημάτων καὶ ἡ ψυχὴ καὶ συνεφάπτεται τῶν ἐρε-
θισμῶν καὶ λήγει μὲν ὁμοίως, λαμβάνει δὲ ἐπίδοσιν ὡσαύτως
καὶ ληγούσης μὲν ψυχῆς ἀπὸ τῶν κινημάτων τῶν παθῶν,

συλλήγει καὶ τὸ σῶμα καὶ καθησυχάζει, ἐπιτριβομένης δὲ τῆς ἐπιθυμίας ἐν τῇ ψυχῇ καὶ τῶν ἐρεθισμῶν ἐπιτριβομένων, ἡδύνει καὶ τὸ σῶμα καὶ φλεγμαίνει καὶ γίγνονται ἴσως μὲν οἱ ἐρεθισμοί, ἴσως δὲ καὶ τῶν ἐρεθισμάτων αἱ ἀποθέσεις καὶ ἐκλείψεις.
5 εἰ δὲ ἐξ ἐναντίων ἦν καὶ τὸ μὲν σῶμα τοῦ πονηροῦ ἦν, ἡ δὲ ψυχὴ τοῦ θεοῦ, πρῶτον μὲν οὐκ ἂν ἐγεγόνει σύνοδος οὔτε αὐτὴ ἡ μακρὰ κρᾶσις ἐπετελεῖτο, δεύτερον δὲ τὸ ἕτερον τὰ τοῦ ἑτέρου οὐκ ἂν παρεδέχετο, ἀλλ' ἑκάτερον ἴδια μὲν τὰ ἑαυτοῦ, ἀλλότρια δὲ τὰ τοῦ ἑτέρου ἐλογίζετο καὶ οὔτε ἡ ἡδονὴ τῶν σωμά-
10 των ἡδονὴ ψυχῆς ἐγίγνετο οὔτε τὰ τραύματα τῶν σωμάτων ἀλγηδόνες ψυχῆς ἐγίγνοντο, ἀλλ' ἑκάτερον καθ' ἑαυτὸ καὶ τὴν ἡδονὴν ἑαυτῷ καὶ τὰ τραύματα ἐμερίζετο. πῶς δὲ καὶ ὁ διάβολος ἴσχυσε τὸ μὴ ἴδιον ἐκεῖθεν λαβεῖν; πῶς δὲ καὶ ἡ ψυχή, μὴ τούτου οὖσα, ἀλλὰ ἄλλου οὖσα καὶ μηδεμίαν ἐπιμιξίαν ἔχου-
15 σα πρὸς τὸ χωρίον τοῦτο, ἀλλ' οὖσα ἑτέρας οὐσίας καὶ πάντη ἠλλοτριωμένη τῆς οὐσίας τοῦ πονηροῦ ἐν τοῖς ἀλλοτρίοις ἐστὶ καὶ ξένοις καὶ τὴν τοῦ σώματος ἐπιμιξίαν φέρει δεσμὸν πονηροῦ καὶ δέδεται οὐκ ἐν ἰδίῳ καὶ ἰδιοποιεῖται τὴν σάρκα καὶ ἁγίαν αὐτὴν ποιεῖ καὶ πρὸς ἀρετὴν αὐτὴν παρασκευάζει, ὡς
20 ἀφομοιοῦσθαι κατὰ τὸ δυνατὸν τῷ κρείττονι. ὅταν γὰρ ἁγνὸν ᾖ καὶ ἀρρύπαρον καὶ ἀκηλίδωτον, ὅταν ἅγιον ᾖ καὶ σεμνόν, ὅταν ἁγίας ἔχῃ τὰς λαλιάς, ὅταν δεξιὰς ἔχῃ τὰς βλέψεις, ὅταν θείας ἔχῃ τὰς κινήσεις, τί ἕτερον ἢ ἀφομοιοῦσθαι τῷ κρείττονι; καὶ ἐξεικάζεται τῷ καλῷ καὶ ἀναφέρει χαρακτῆρα τοῦ κρείτ-
25 τονος. καὶ ταῦτα μὲν οὕτως εἰρήσθω, ὀλίγα δὲ καὶ τῶν λογίων παραθώμεθα, ἵνα καὶ ἡ τῶν λογίων παράθεσις ἐντροπὴν μὲν ἐκείνοις, ἡμῖν δὲ πίστεως ἀκρίβειαν ποιήσῃ. ὁ γὰρ σωτὴρ ἐν τῷ εὐαγγελίῳ, τῆς πλάσεως μεμνημένος ἀνδρὸς καὶ γυναικὸς καὶ τὴν πλάσιν ἀναφέρων ἐπὶ τὸν ἑαυτοῦ πατέρα καὶ ποιητὴν
30 τοῦ παντός, ἔλεγεν „ὁ κτίσας ἀπ' ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ εἶπεν Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ὃ οὖν ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω“. καὶ τὸν ὅρον τοῦ σώματος
35 καὶ τῆς ψυχῆς αἴτιον ὁμολογῶν οἶδε καὶ πατέρα ὁμολογεῖ καὶ ἐπέχει τὰς ἀνθρωπίνας ἐπινοίας, ἀχώριστα εἶναι τὰ πεποιημένα βουλόμενος καὶ μὴ ἀνθρωπίνῃ γνώμῃ χωρίζειν τὰ καλῶς ἡρμοσμένα ἐπιτρέπων. ἐν δὲ τῷ εὐαγγελίῳ τοῖς δοκήσει τῆς αὐτῆς ἐπιμελείας ἐχομένοις, ἠμεληκόσι δὲ τῶν κρυπτῶν καὶ τῆς ἔνδον

ἐπιμελείας φησὶν „ἄφρονες, οὐχ ὁ ποιήσας τὸ ἔξωθεν καὶ τὸ ἔνδοθεν ἐποίησεν;“ εἰ δὲ τὸ μὲν ἔσωθέν ἐστιν ἡ ψυχή, τὸ δὲ ἔξωθεν τὸ σῶμα, καὶ ὁ ποιήσας τὸ ἔσω τὴν ψυχὴν πεποίηκε καὶ ὁ ποιήσας τὸ ἔξω τὸ σῶμα πεποίηκεν, ὁ ψυχῆς ποιητὴς καὶ σώματος ἂν εἴη ποιητής, καὶ θεός ἐστιν ὁ ἀμφότερα ποιῶν 5 καὶ ἁρμόζων καὶ συνάπτων, ὁ τὴν ἁρμονίαν ταύτην τὴν ἱεροπρεπεστάτην ἡρμοσμένος. αὐτὸς δὲ ὁ σωτὴρ ἐν ταῖς ἑαυτοῦ διαλέξεσιν οἵαν ἐπιμέλειαν ποιεῖται τοῦ σώματος, ὅταν λέγῃ „εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν· ὁ δυνάμενος χωρεῖν χωρείτω“; ταύτην γὰρ ἐπι- 10 μέλειαν τῷ σώματι ἀποδεδωκὼς καὶ ἅγιον αὐτὸ καὶ ἀπαθὲς καὶ ἀνήδονον παρασκευάζων καὶ πᾶσαν ἐπιθυμίαν ὑποτέμνων καὶ ὑποκείρων τῷ λόγῳ, τὴν πρὸς τὸ σῶμα ἐπιμέλειαν δείκνυσι καὶ τὴν πρὸς τὴν σάρκα κηδεμονίαν σημαίνει. κηδόμενος δὲ καὶ φροντίζων τὴν ἰδιότητα ἐκ τῆς κηδεμονίας κηρύττει, μέχρι τοῦ 15 βλέμματος φθάνων, ἵνα μὴ τὸ βλέμμα ὡς ἔτυχε κινούμενον ῥυπαρίας καὶ κηλῖδος ἐμπιπλῆται, ἀλλὰ τὴν εὔτονον ἔχον κίνησιν ἡρμοσμένον διατελῇ. λέγει γὰρ ἐν τῷ εὐαγγελίῳ „πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ“. καὶ τὸ ἐν τῷ σώματι πάθος τῇ 20 καρδίᾳ συμμετρεῖ καὶ τοῦ βλέμματος ἐπιμελούμενος κοινὴν τὴν ἐπιμέλειαν τῆς καρδίας ποιεῖται, πάθος βλέμματος πάθος καρδίας εἰσηγησάμενος καὶ ἐπιμέλειαν ὀμμάτων ἐπιμέλειαν τοῦ διανοητικοῦ θέμενος. οὐδὲ γὰρ ἑτέρως βλάψει τὸ ὄμμα ἢ ὡς βλάψει ὁ νοῦς. οὐδὲ γὰρ οἷόν τε ἐστὶ τὸ ὄμμα διαστρέφεσθαι, τὴν δὲ 25 ψυχὴν μὴ διαστρέφεσθαι· ἐπιεικῶς γὰρ ψυχῆς καὶ ἁπλῶς ὁρώσης ἐπιτηδείως ὄψεται τὰ ὄμματα. ἐνταῦθα γοῦν τὴν ἄτοπον βλέψιν παραβλεψάμενος, τὴν ἁγίαν παρεισάγει, ἵνα οἱ ὀφθαλμοὶ ὀρθὰ βλέπωσι καὶ τὰ βλέφαρα νευέτω δίκαια. ἐπαίρει γὰρ τὰ ὄμματα, κάτω αὐτὰ κεκάμφθαι μὴ ἐπιτρέπων, ἀλλὰ διανιστῶν 30 αὐτὰ καὶ διεγείρων καὶ ἐπηρμένα αὐτὰ παρασκευάζων. δι' ὃ πολλὴν ἐπιμέλειαν τῶν σωμάτων ποιούμενος καὶ σῶμα πεφόρηκε καὶ εἰς σῶμα ἦλθεν. εἰ μὲν οὖν οὐκ ἦλθεν ἐν σώματι, τί φήσουσι περὶ τοῦ σταυροῦ καὶ τοῦ τύπου τῶν ἥλων καὶ τοῦ τύπου τῆς λόγχης καὶ τοῦ μνημείου καὶ τῆς ταφῆς; εἰ δὲ ἐκ τούτων ἐλεγχόμενοι 35 ὁμολογοῦσι σῶμα τὸν σωτῆρα εἰληφέναι, τί ἐροῦσιν, εἰ μήτι καὶ αὐτὸν ὑπὸ τοῦ πονηροῦ πεπλάσθαι φήσουσι καὶ μηκέτι μόνον τὸ ἀνθρώπινον σῶμα εἶναι τοῦ πονηροῦ, ἀλλὰ καὶ τὸ σῶμα τοῦ εὐεργέτου; οὐ φείσονται γὰρ μέχρι καὶ ταύτης τῆς ἐπινοίας

φθάσαι καὶ τὴν γλῶτταν ἐκτεῖναι κατὰ τοῦ σωτῆρος. ὁ γὰρ μελετῶν κατὰ τῶν ἐκείνῳ διαφερόντων διαλέγεσθαι, οὗτος ἀκονήσας τὴν γλῶτταν κατ' αὐτοῦ διαλεχθήσεται, ὁ δὲ σωτὴρ καὶ βαπτίσματι διελούετο ἐν τῷ Ἰορδάνῃ, ὕδασι περιερραίνετο, τίς
5 ὢν καὶ τυγχάνων; εἰ μὲν γὰρ οὐ σῶμα φέρων οὔτε σῶμα ἔχων, τί κοινὸν πνεύμασι καὶ ποταμοῖς; τίς ἀγγέλων, ποία δύναμις, ποία κυριότης, ποία ἀρχή, ποία ἐξουσία καταβέβηκεν εἰς λουτρὸν καὶ πεῖραν ὑδάτων ἔσχεν; εἰ δὲ [οὐδὲ] δύναμις μὲν οὐδὲ ἐξουσία οὔτε θρόνος οὐδεὶς εἰς ὕδατα κατῆλθεν, ἀζήτητον γέγονε
10 τὸ πρᾶγμα καὶ σαφές, καὶ δῆλον γέγονε τὸ ζητούμενον. ἀλλὰ ἀνῄει ἀπὸ τῶν ὑδάτων, ἐπειράζετο ὑπὸ τοῦ διαβόλου, ἐπείνα, ἐδίψα, ἔπλει, ἐκοιμᾶτο, ὥδευεν, ἐκοπία, ἐβάδιζε, πεινῶν ἐπὶ τὴν συκῆν ἦλθε, τὸ τελευταῖον ἐκρίνετο, ἐσταυροῦτο. τίς ταῦτα ἐβόα; τίς ταῦτα ἐμαρτύρει; σιωπάτωσαν αἱ γλῶσσαι, λαλείτω-
15 σαν αἱ πράξεις. στόμα ἔχουσι τὰ πράγματα· μηκέτι τὸν ἀέρα κρούοντες τὸν ἦχον ἀποπέμψωμεν. στόμα ἔχουσι τὰ γεγραμμένα, κἂν ἡμεῖς σιωπήσωμεν, οὐ σιωπᾷ τὰ πράγματα, κἂν ἡμεῖς μὴ λαλήσωμεν, οὐκ ἀνέχεται μὴ λαλεῖν τὰ γεγραμμένα. ἐπειδὴ οὖν ταῦτα οὕτως ἔχει καὶ πισταί εἰσιν αἱ πράξεις καὶ
20 τῶν πράξεων ἀληθεῖς οἱ λόγοι καὶ βοῶσιν αἱ τῶν πράξεων δυνάμεις ὅτι σῶμα εἶχεν ὁ σωτὴρ καὶ σῶμα θνητὸν καὶ σῶμα ἐφόρεσε διὰ τὰ ἡμέτερα, τὸ ὅμοιον λοιπὸν ζητεῖ, ἥκει δι' ἡμᾶς ὁ ἐκείνου ποιητὴς καὶ τῶν ἡμετέρων ποιητής. εἰ γὰρ ἕτερον ἦν, οὐκ ἂν περὶ ἑτέρων ἐκείνου πρόνοιαν ἐποιεῖτο, εἰ δὲ πεποίη-
25 ται ὑπὸ θεοῦ, πεποίηται δὲ ὑπὲρ ἡμῶν, ὑπὲρ τῶν ἰδίων ἐποιεῖτο. ἵνα γὰρ τὰ ἴδια ἑαυτοῦ σώσῃ, ἐκεῖνο ἐποίησε, τῇ ἐκείνου ποιήσει πάντων τῶν ἰδίων τὴν ἐλευθερίαν ἐργασάμενος. χάρις οὖν τῷ πεποιηκότι τὰ ἡμέτερα σώματα, τῷ προνοησαμένῳ καὶ ἐρρᾳθυμηκότων αὐτῶν καὶ ἀποστείλαντι τὸν ἴδιον υἱὸν ἐν σώ-
30 ματι καὶ δεδωκότι ἐνέχειρον τοῖς ἡμετέροις σώμασιν, ἵνα μηκέτι κάμπτωμεν καὶ χαμαὶ ὁρῶμεν, ἀλλὰ ὦμεν ἐπηρμένοι τῇ κοινωνίᾳ τῶν σωμάτων. εὐτελίσωμεν οὖν καὶ ἐν τούτῳ τοὺς ἀπατεῶνας ἐκείνους, ὅτι καὶ κατὰ τῶν σωμάτων βεβαδίκασι καὶ κατὰ τοῦ πλάστου κεχωρήκασι καὶ κατὰ τῆς οἰκονομίας τοῦ
35 θεοῦ τὴν γλῶτταν ἐξέτειναν καὶ κατὰ τῆς ἐλευθερίας ἡμῶν λαλεῖν οὐ παρῃτήσαντο, ἀγύρται τινὲς ὄντες καὶ ἀγοραῖοι, ἄθροισμα λόγων πονηρίας συναγηοχότες. ἔστι γὰρ τὸ ἓν ἐχόμενον τὸ ἕτερον αἰτιᾶσθαι, ἀλλὰ μὴ πάντα ἐφεξῆς ἐπεξιόντας πάντα ἀχρεῖα καὶ ἔκφυλα ἡγεῖσθαι. διὰ τοῦτο καὶ ἡμεῖς εἰς ἅπαντα

λόγον αὐτῶν κατιόντες μὴ πολὺ μῆκος παράσχωμεν τῷ λόγῳ. μέχρι τούτων στῶμεν, διὰ τῶν ὀλίγων καὶ τὰ ἄλλα ὑποδείξαντες καὶ διὰ τῶν προλεχθέντων τὸν ἔλεγχον κατασκευάσαντες. ἐπιμελείας δὲ τοῖς σπουδαίοις χρεία, ἵνα πᾶσαν γοητείαν ὑπερβεβηκότες ἀλήπτους τὰς ἀκοὰς ἀπὸ τῆς πονηρίας διαφυλάξωσιν, 5 ὅπως κλειδοφύλακες ὦσι τῶν ἑαυτῶν ἀκοῶν καὶ πῇ μὲν ἀνοιγνύοντες, ὅτε κρούει ὁ ἀληθὴς λόγος, πῇ δὲ ἀποκλείοντες, ὅτε ὁ ψευδὴς καὶ πεφενακισμένος σχηματιζόμενος τὴν ἀλήθειαν εἰσβάλλειν ἐν τῷ ταμείῳ τῆς διανοίας σπουδάζει. πολλοὶ γὰρ πεπλασμένοι καὶ ἐσχηματισμένοι τὰς ἀκοὰς κρούουσι (λέγοντες 10 Ἐγώ εἰμι ὁ χριστός) καὶ πολλοὺς πλανήσουσιν. εἷς δὲ μόνος ἔστιν ὁ χριστός, ὁ ἐλευθερωτής, ὁ τροπαιοῦχος, ὁ εὐεργετικός, ὁ διαθέσει κρούων; ὁ ἐλευθερίαν τῇ εἰσόδῳ μνηστευόμενος, ὁ ἅμα τῷ εἰσβαλεῖν ἐξοικίζων τὰς ἁμαρτίας, ὁ ἐν τῇ εἰσόδῳ τὴν φιλίαν τὴν πρὸς τὸν πατέρα ἀποδιδούς, ὁ παραχρῆμα τῇ εἰσόδῳ 15 τῇ ἑαυτοῦ τρόπαια ....

Γρηγορίου μεγάλου θαυματουργοῦ κατὰ μέρος πίστις.

[31] Ἔχθιστοι καὶ ἀλλότριοι τῆς ἀποστολικῆς ὁμολογίας οἱ τὸν υἱὸν ἐξ οὐκ ὄντων καὶ ἀποστελλομένης ἀρχῆς εἶναι ἐπίκτητον λέγοντες τῷ πατρὶ καὶ οἱ περὶ τοῦ ἁγίου πνεύματος τὰ αὐτὰ 20 διανοούμενοι, οἱ δόσει καὶ χάριτι θεοποιεῖσθαι λέγοντες τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον ἁγιάζεσθαι, οἱ τὸ τοῦ υἱοῦ κοινοποιοῦντες ὄνομα πρὸς τοὺς δούλους καὶ „πρωτότοκον κτίσεως" οὕτω λέγοντες ὡς ὁμοίως ἐκ τοῦ μὴ εἶναι καὶ αὐτὸν ὄντα καὶ ὡς πρῶτον πεποιημένον, καὶ οὐχ ὁμολογοῦντες μονογενῆ υἱὸν 25 μόνον ὄντα τῷ πατρί, δεδωκότα δὲ ἑαυτὸν εἰς συναρίθμησιν τῶν θνητῶν καὶ οὕτω πρωτότοκον ἀριθμούμενον, οἱ τὴν γέννησιν τοῦ υἱοῦ τὴν ἐκ πατρὸς ἀνθρωπίνως περιγράφοντες διαστήματι μετρουμένῳ καὶ οὐκ ἄναρχον τὸν αἰῶνα τοῦ γεννήτορος καὶ τοῦ γεννήματος ὁμολογοῦντες, οἱ τρεῖς **[32]** ἀκοινωνήτους καὶ 30 ξένας εἰσάγοντες λατρείας, μιᾶς καὶ μόνης οὔσης τῆς νομίμου θρησκείας, ἣν ἄνωθεν ἐκ νόμου καὶ προφητῶν παραλαβόντες ἔχομεν καὶ ὑπὸ τοῦ κυρίου βεβαιωθεῖσαν καὶ ὑπὸ τῶν ἀποστόλων κεκηρυγμένην. ἀλλότριοι δὲ οὐχ ἧττον καὶ οἱ τὴν τριάδα μὴ κατὰ ἀλήθειαν ἐκ τριῶν προσώπων ὁμολογοῦντες, ἀλλ' ἐν 35 μονάδι τὸ τριπλοῦν ἀσεβῶς κατὰ σύνθεσιν φανταζόμενοι καὶ σοφίαν ἐν θεῷ τὸν υἱὸν ὡς ἐκ ἀνθρώπῳ τὴν ἀνθρωπίνην ἡγού-

μενοι, δι' ἧς ὁ ἄνθρωπός ἐστι σοφός, καὶ λόγον ὁμοίως τῷ
κατὰ προφορὰν ἢ διάνοιαν εἰσηγούμενοι οὐδεμιᾷ ὑποστάσει οὐδὲ
μόνῃ. ἐκκλησιαστικὴ δὲ ὁμολογία καὶ κόσμῳ σωτήριος πίστις
ἡ περὶ τῆς τοῦ λόγου σαρκώσεως, δόντος μὲν ἑαυτὸν ἀνθρωπίνῃ
5 σαρκί, ἣν ἐκ Μαρίας προσελάβετο, μείναντος δὲ ἐν ταὐτότητι
καὶ μηδεμίαν θείαν μετακίνησιν μηδὲ ἀλλοίωσιν ὑποστάντος,
συναιρεθέντος δὲ πρὸς τὴν σάρκα καθ' ὁμοίωσιν ἀνθρωπίνην,
ὥστε τὴν σάρκα πρὸς τὴν θεότητα ἑνωθῆναι, τῆς θεότητος τὸ
παθητικὸν τῆς σαρκὸς ἐν τῇ τοῦ μυστηρίου πληρώσει ἀνῃρη-
10 κυίας· μετὰ γὰρ θανάτου κατάλυσιν περὶ τὴν σάρκα τὴν ἁγίαν
ἀπάθεια διηνεκὴς καὶ ἄτρεπτος ἀθανασία, ἀνειλημμένου μὲν τοῦ
κατ' ἀρχὴν ἀνθρωπίνου κάλλους ἐν τῇ τῆς θεότητος δυνάμει,
χορηγουμένου δὲ ἐπὶ πάντας ἀνθρώπους ἐν τῇ τῆς πίστεως
οἰκειώσει. εἰ δὲ τινὲς καὶ ἐνταῦθα παραχαράττουσι τὴν ἱερα-
15 [τικὴ]ν πίστιν, ἢ τῇ θεότητι τὰ ἀνθρώπινα προσιδιοποιοῦντες
(προκοπάς τε καὶ πάθη καὶ δόξαν τὴν ἐπιγινομένην) ἢ τῆς θεό-
τητος διιστῶντες τὸ προκόπτον καὶ πάσχον σῶμα ὡς ἰδιαζόντως
ὑφεστός, καὶ οὗτοι τῆς ἐκκλησι[α]στικῆς καὶ σωζούσης ὁμολογίας
ἐκτός. οὐδεὶς οὖν δύναται γνῶναι τὸν θεόν, εἰ μὴ τὸν υἱὸν
20 ἐπιγνῷ. σοφία γάρ ἐστιν ὁ υἱός, δι' ἧς τὰ πάντα ἔκτισται· τὰ
δὲ κτίσματα μηνύει τὴν σοφίαν καὶ ὁ θεὸς ἐν τῇ σοφίᾳ γινώ-
σκεται· οὐ τοιαύτη δὲ ἡ τοῦ θεοῦ σοφία οἵαν ἄνθρωπος ἔχει,
ἀλλὰ τελεία ἐκ τελείου τοῦ θεοῦ προελθοῦσα καὶ μένουσα διὰ
παντός, οὐχ ὡς νόημα ἀνθρώπου τὸ παρερχόμενον καὶ λόγος
25 λαλούμενος καὶ μὴ ὤν. διὰ τοῦτο οὐ μόνον ἐστὶ σοφία, ἀλλὰ
καὶ θεός, οὐδὲ μόνον λόγος, ἀλλὰ καὶ υἱός. εἴτε οὖν ἀπὸ κτί-
σεώς τις νοεῖ τὸν θεὸν εἴτε ἐκ τῶν θείων γραφῶν διδάσκεται, οὐκ
ἄνευ τῆς σοφίας αὐτοῦ **[33]** γνῶναι ἢ ἀκοῦσαι περὶ αὐτοῦ δύναται,
καὶ ὁ ἐπικαλούμενος ὀρθῶς τὸν θεὸν ἐπικαλεῖται δι' υἱοῦ, καὶ
30 ὁ προσερχόμενος οἰκείως διὰ χριστοῦ ἔρχεται· προσελθεῖν δὲ
ἀδύνατον τῷ υἱῷ χωρὶς τοῦ πνεύματος· τὸ πνεῦμα γὰρ καὶ ἡ
ζωὴ καὶ ἡ ἁγία μόρφωσις τῶν ὅλων· καὶ τοῦτο ἐκπέμπων ὁ
θεὸς δι' υἱοῦ τὴν κτίσιν ὁμοιοῖ πρὸς ἑαυτόν. εἷς οὖν ὁ πατὴρ
ὁ θεός, εἷς υἱὸς ὁ λόγος, ἓν πνεῦμα ζωή, ἡ ἁγιωσύνη ἡ τῶν
35 ὅλων. καὶ οὔτε θεὸς ἕτερος ὡς πατὴρ οὔτε υἱὸς ἕτερος ὡς
λόγος θεοῦ οὔτε πνεῦμα ἕτερον ὡς ζωοποιὸν καὶ ἁγιαστικόν,
ἀλλ' εἰ καὶ θεοὶ καὶ υἱοὶ καὶ πνεύματα καλοῦνται οἱ ἅγιοι, οὔτε
πνεύματος πληροῦνται οὔτε ὁμοιοῦνται πρὸς τὸν υἱὸν καὶ θεόν.
ἐὰν δέ τις οὕτως λέγῃ τὸν υἱὸν εἶναι θεὸν ὡς πληρωθέντα

θεότητος καὶ αὐτόν, καὶ οὐχ ὡς γεννηθέντα ἐκ θεότητος, ἠρνήσατο τὸν λόγον, ἠρνήσατο τὴν σοφίαν, ἀπώλεσε τὴν γνῶσιν τὴν περὶ θεοῦ, κατέπεσεν εἰς τὸ σέβειν τὴν κτίσιν, κατέλαβεν Ἑλλήνων ἀσέβειαν, ἐπὶ ταύτην ὑπέστρεψεν, τὴν Ἰουδαίων ἀπιστίαν ἐμιμήσατο, οἳ τὸν ἐκ θεοῦ λόγον υἱὸν ἀνθρώπινον ὑπολαμβάνοντες θεὸν εἶναι τοῦτον οὐκ ἐπίστευσαν οὐδὲ θεοῦ υἱὸν ὡμολόγησαν· ἀσεβὲς δὲ τὸν τοῦ θεοῦ λόγον ὡς ἀνθρώπινον νοεῖν καὶ τὰ ἔργα τὰ δι' αὐτοῦ μένοντα, μὴ μένοντος αὐτοῦ. ἐὰν δέ τις εἴπῃ κελευόμενον διὰ τοῦ λόγου τὸν χριστὸν ἐργάζεσθαι τὰ πάντα, καὶ τὸν τοῦ θεοῦ λόγον ἀργὸν ποιήσει καὶ τὴν τοῦ δεσπότου τάξιν εἰς δουλείαν μεταθήσει· δοῦλον γὰρ ἅπαν τὸ κελευόμενον καὶ τὸ κτιστὸν οὐχ ἱκανὸν εἰς τὸ κτίζειν· οὐ γὰρ ἐξισωθήσεται τῷ κτίσαντι αὐτὸ κατ' οὐδένα τρόπον, ἵν' ὡς ὑπ' ἐκείνου ἔκτισται, οὕτω καὶ αὐτὸ κτίσῃ τὰ ἄλλα. πάλιν δὲ ὅταν καὶ τὸ πνεῦμα τὸ ἅγιον εἴπῃ τις ἡγιασμένον εἶναι ποίημα, οὐκέτι τὰ πάντα δυνήσεται νοεῖν ἐν πνεύματι ἁγιαζόμενα. ὁ γὰρ ἓν ἁγιάσας ἁγιάζει καὶ τὰ πάντα. ἀρνεῖται οὖν τὴν τῆς ἁγιωσύνης πηγήν, τὸ πνεῦμα τὸ ἅγιον, ὁ ἀφαιρῶν αὐτοῦ τὸ ἁγιάζειν, καὶ συναριθμεῖν αὐτὸ πατρὶ καὶ υἱῷ κωλυθήσεται. καὶ τὸ ἅγιον δὲ βάπτισμα ἀθετεῖ καὶ οὐκέτι τριάδα ὁμολογήσει τὴν ἁγίαν καὶ σεβάσμιον. ἢ γὰρ ἐν φυσικῇ δόξῃ καὶ ἀληθινῇ τὴν ὅλην τριάδα νοητέον ἢ μονάδα καὶ οὐκέτι τριάδα λέγειν ἀναγκασθησόμεθα ἢ μὴ συναριθμεῖν τῷ κτίστῃ τὰ κτιστὰ ποιήματα μηδὲ τῷ δεσπότῃ τῶν ὅλων τὰ κτίσματα μηδὲ τῷ ἁγιάζοντι τὰ ἁγιαζόμενα, **[34]** ὥσπερ οὐδὲ τῇ τριάδι συναριθμεῖταί τι τῶν ποιημάτων, ἀλλ' ἐπ' ὀνόματι τῆς ἁγίας τριάδος τὸ βάπτισμα καὶ ἡ ἐπίκλησις καὶ ἡ λατρεία. εἰ γὰρ τρεῖς αἱ δόξαι, τρεῖς αἱ λατρεῖαι γινέσθωσαν παρὰ τοῖς ἀσεβῶς τὰ κτίσματα σέβουσι[ν]· εἰ διῃρημένα τὰ τῆς προσκυνουμένης φύσεως, διῃρημένα καὶ [τὰ] τῆς προσκυνήσεως ἔστω παρ' αὐτοῖς, ἀλλ' οὐδὲ μετὰ τοῦ αἰωνίου τὰ πρόσφατα προσκυνηθήσεται. πρόσφατον γὰρ ἅπαν τὸ ἀρχὴν εἰληφός, ἐπειδὴ πολὺς καὶ ἄμετρος ὁ πρὸ τῶν αἰώνων [. . . .]. ὁ τοίνυν ἀρχήν τινα χρόνων τῆς τοῦ υἱοῦ ζωῆς καὶ τῆς τοῦ ἁγίου πνεύματος ὑποτιθέμενος χωρίζει κατὰ ταὐτὸν τῆς μετὰ τοῦ πατρὸς συναριθμήσεως τὸν υἱὸν καὶ τὸ πνεῦμα. δεῖ γάρ, ὥσπερ μίαν τὴν δόξαν ὁμολογοῦμεν, οὕτως καὶ μίαν τὴν οὐσίαν ἤτοι θεότητα καὶ μίαν τὴν ἀειδιότητα τῆς τριάδος ὁμολογεῖν. κεφάλαιον δὲ τῆς σωτηρίας ἡμῶν ἡ τοῦ λόγου σάρκωσις. πιστεύομεν οὖν ἀναλλοιώτου μενούσης τῆς θεότητος τὴν σάρκωσιν τοῦ λόγου

γεγενῆσθαι πρὸς ἀνακαίνωσιν τῆς ἀνθρωπότητος. οὔτε γὰρ ἄλλαξις οὔτε μετακίνησις οὔτε περικλεισμὸς ἐν [π]νεύματι γέγονεν περὶ τὴν ἁγίαν τοῦ θεοῦ δύναμιν, ἀλλ' ἡ αὐτὴ διαμένουσα καὶ τὸ τῆς σαρκώσεως ἔργον ἐπλήρωσεν εἰς τὴν τοῦ κόσμου σωτη-
5 ρίαν καὶ κατὰ τὸ ἀνθρώπινον ἐπὶ γῆς πολιτευσάμενος ὁ τοῦ θεοῦ λόγος τὴν θεϊκὴν ἐπὶ πάντα παρουσίαν ὁμοίως διεφύλαξεν, πάντα πεπληρωκὼς ἰδίως τε σαρκὶ συγκεκραμένος. καὶ τῶν περὶ σάρκα παθῶν γινομένων τὴν ἀπάθειαν ἡ δύναμις εἶχεν τὴν ἑαυτῆς. ἀσεβὴς οὖν ὁ τὸ πάθος ἀνάγων εἰς τὴν δύναμιν. ὁ
10 γὰρ τῆς δόξης κύριος ἐν ἀνθρωπίνῳ σχήματι πέφηνε τὴν ἀνθρωπίνην οἰκονομίαν ἀναδεξάμενος ἐπὶ γῆς καὶ ταῖς μὲν πράξεσι τὸν νόμον πληρώσας ὑπὲρ ἀνθρώπων, τοῖς δὲ πάθεσι τὰ παθήματα διαλύσας καὶ τῷ θανάτῳ τὸν θάνατον ἀνελών, τῇ δὲ ἀναστάσει τὴν ζωὴν ἀνατείλας· οὗ καὶ τὴν παρουσίαν ἔνδοξον
15 ἀπ' οὐρανοῦ προσδοκῶμεν ἐπὶ τῇ τῶν ὅλων ζωῇ καὶ κρίσει, ἀναστάσεως νεκρῶν ἐσομένης εἰς τὸ πᾶσιν ἀνταποδοθῆναι κατ' ἀξίαν. δεινὸν δὲ μελέτημά τινες κατὰ τῆς ἁγίας μελετῶσι τριάδος οἱ τρία πρόσωπα οὐκ εἶναι διισχυριζόμενοι, ὥσπερ ἀνυπόστατον εἰσάγοντες πρόσωπον· δι' ἧς ἀποφεύγομεν τὸν Σα-
20 βέλλιον λέγοντα τὸν αὐτὸν πατέρα, τὸν αὐτὸν υἱόν. πατέρα μὲν γὰρ λέγει εἶναι τὸν λαλοῦντα, υἱὸν δὲ τὸν λόγον ἐν τῷ πατρὶ μένοντα καὶ κατὰ καιρὸν τῆς δημιουργίας φαινόμενον, ἔπειτα μετὰ **[35]** τὴν ἁπάντων πλήρωσιν τῶν πραγμάτων εἰς θεὸν ἀνατρέχοντα. τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ πνεύματος λέγει.
25 πιστεύομεν γὰρ ἡμεῖς ὅτι τρία πρόσωπα μία[ν] ἔχοντα τὴν θεότητα δηλοῦνται, πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα. ἡ γὰρ θεότης μία φυσικῶς ἐν τριάδι μαρτυρουμένη τὴν ἑνότητα τῆς φύσεως βεβαιοῖ, ὅτιπερ καὶ ἴδιον μὲν πατρὸς κατὰ τὸ „εἷς θεὸς ὁ πατήρ", πατρῷον δὲ τῷ υἱῷ κατὰ τὸ „θεὸς ἦν ὁ
30 λόγος"· καὶ τῷ πνεύματι δὲ παρὸν φυσικῶς τὸ πνεῦμα θεοῦ ὑπάρχειν καθ' ὃ λέγει Παῦλος „ναὸς θεοῦ ἐστε καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν". πρόσωπον μὲν γὰρ ἑκάστου τὸ εἶναι αὐτὸ καὶ ὑφεστάναι δηλοῖ, θεότης δὲ πατρὸς ἴδιον, καὶ ὁπότε μία τῶν τριῶν ἡ θεότης λέγοιτο, τὴν πατρὸς ἰδιότητα παροῦσαν
35 υἱῷ τε καὶ πνεύματι μαρτυρεῖ· ὥστε εἰ μὲν ἐν τρισὶ προσώποις μία ῥηθήσεται ἡ θεότης, καὶ ἡ τριὰς διαβεβαιοῦται καὶ τὸ ἓν οὐ διακόπτεται καὶ ἡ πρὸς τὸν πατέρα φυσικὴ υἱοῦ τε καὶ πνεύματος ἑνότης ὁμολογεῖται· εἰ δὲ καὶ πρόσωπον ἓν λέγει τις ὥσπερ καὶ τὴν θεότητα μίαν, οὐκ ἔστιν ὡς ἓν τὰ δύο ἐν τῷ ἑνί. ὁ

γὰρ Παῦλος ἕνα μὲν ἐπὶ τῆς θεότητος τὸν πατέρα βοᾷ, ἕνα δὲ ἐπὶ τῆς κυριότητος τὸν υἱὸν λέγει „εἷς θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς κύριος Ἰησοῦς χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ"· τοιγαροῦν [εἰ] εἷς μὲν θεός, κύριος δὲ εἷς, ἓν δὲ πρόσωπον καθ' ὃ θεότης μιᾶς κυριότητος, 5 καὶ πῶς πιστεύεται τὸ „ἐξ οὗ" καὶ „δι' οὗ" ὡς προείρηται; καὶ οὐ διακόπτοντες ἡμεῖς τῆς θεότητος τὴν κυριότητα λέγομεν οὐδ' ἀπαλλοτριοῦντες θατέρου θάτερον, ἀλλ' οὕτως ἑνοῦντες ὡς ἔχει τὸ πρᾶγμα καὶ ἡ ἀλήθεια, καὶ θεὸν μὲν τὸν υἱὸν τῷ ἰδιώματι τοῦ πατρὸς καλοῦντες ὡς εἰκόνα καὶ γέννημα, κύριον δὲ τὸν πατέρα τῷ 10 τοῦ ἑνὸς κυρίου προσαγορεύοντες ὀνόματι ὡς τούτου ἀρχὴν καὶ γεννήτορα. τὰ αὐτὰ δὲ καὶ περὶ τοῦ πνεύματος, ἑνότητα πρὸς τὸν υἱὸν ἔχοντος, ἣν ὁ υἱὸς πρὸς τὸν πατέρα· ὥστε γνωριζέσθω μὲν ἡ ὑπόστασις τοῦ πατρὸς τῇ τοῦ θεοῦ προσηγορίᾳ, μὴ διατετμήσθω δὲ ταύτης ὁ υἱὸς ὡς ὢν ἐκ θεοῦ, γνωριζέσθω δὲ καὶ 15 τὸ πρόσωπον τοῦ υἱοῦ τῇ τοῦ κυρίου προσηγορίᾳ, μὴ χωριζέσθω δὲ ταύτης ὁ θεὸς [πατήρ], κύριος ὢν ὡς κυρίου πατήρ· καθ' ὃ τῷ μὲν υἱῷ τὸ κυριεύειν ἴδιον, αὐτῷ δεδημιουργηκότι δι' ἑαυτοῦ καὶ κυριεύοντι τῶν πεποιημένων, τῷ δὲ πατρὶ ἀνωτέρως ὑπάρχον ὡς πατρὶ τοῦ κυριεύοντος ὄντι. οὕτω δὴ καὶ θεὸν 20 **[36]** ἕνα φαμὲν τὴν τριάδα, ἀλλ' οὐχ ὡς ἐκ συνθέσεως τριῶν ἕνα εἰδότες (μέρος γὰρ ἅπαν ἀτελὲς τὸ [ἐκ] συνθέσεως ὑφιστάμενον), ἀλλ' ὡς, ὅπερ ἐστὶν ὁ πατὴρ ἀρχικῶς τε καὶ γεννητικῶς, τοῦτο ὄντα τὸν υἱόν, εἰκόνα καὶ γέννημα τοῦ πατρός· ὥστε εἴ τις ἔροιτο Πῶς εἷς θεός, εἴπερ ἐκ θεοῦ θεὸς [υἱός]; ἐροῦμεν ὅτι τῷ τῆς 25 ἀρχῆς λόγῳ, καθ' ὃν μία ἀρχὴ ὁ πατήρ. καὶ εἴ τις αὐτῶν πυνθάνοιτο Πῶς εἷς κύριος, εἴπερ κύριος ὁ πατήρ; τοῦτο πάλιν ἀποκρινώμεθα Καθ' ὃ τοῦ κυρίου ἐστὶ πατήρ. καὶ οὐκέτι ἡμῖν ἀπαντήσεται τὸ ἄπορον τοῦτο. καὶ πάλιν ἐὰν εἴπωσιν οἱ ἀσεβεῖς Πῶς οὐκ ἂν εἶεν τρεῖς θεοὶ τρία πρόσωπα, εἰ μίαν ἔχοιεν τὴν 30 θεότητα; ἐροῦμεν Ἐπειδὴ ὁ θεὸς ἀρχὴ καὶ πατήρ ἐστιν τοῦ υἱοῦ καὶ οὗτος εἰκών ἐστι καὶ γέννημα τοῦ πατρὸς καὶ οὐκ ἀδελφὸς αὐτοῦ — καὶ πνεῦμα ὡσαύτως πνεῦμα θεοῦ ἐστιν, ὡς γέγραπται „πνεῦμα ὁ θεός". καὶ ἄνωθεν δὲ ἐκ τοῦ προφήτου Δαβὶδ „τῷ λόγῳ κυρίου" δεδήλωται „τοὺς οὐρανοὺς ἐστερεῶσθαι καὶ τῷ 35 πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαν τὴν δύναμιν αὐτῶν". καὶ ἐν ἀρχῇ τῆς κοσμοποιίας γέγραπται οὕτως „καὶ τὸ πνεῦμα τοῦ θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος". καὶ Παῦλος δὲ γράφων Ῥωμαίοις φησὶν „ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύ-

ματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν". καὶ πάλιν λέγει „εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ ὑμῶν σώματα διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν". καὶ πάλιν
5 „ὅσοι πνεύματι θεοῦ ἄγονται, οὗτοι υἱοὶ θεοῦ εἰσιν· οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν Ἀββᾶ ὁ πατήρ". καὶ πάλιν „ἀλήθειαν λέγω ἐν χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ". καὶ πάλιν „ὁ δὲ θεὸς τῆς ἐλπί-
10 δος πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι ἐν δυνάμει πνεύματος ἁγίου". καὶ πάλιν φησὶν τοῖς αὐτοῖς Ῥωμαίοις γράφων „τολμηροτέρως δὲ ἔγραψα ὑμῖν ἀπὸ μέρους ὡς ἐπαναμιμνήσκων ὑμᾶς διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ἀπὸ τοῦ θεοῦ εἰς τὸ εἶναί με
15 λειτουργὸν Ἰησοῦ χριστοῦ εἰς τὰ ἔθνη, λειτουργοῦντα τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος [37] ἡγιασμένη ἐν πνεύματι ἁγίῳ· ἔχω οὖν τὴν καύχησιν ἐν χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν θεόν· οὐ γὰρ τολμῶ τι λαλεῖν ὧν οὐ κατειργάσατο χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν λόγῳ καὶ
20 ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει πνεύματος ἁγίου". καὶ πάλιν „παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ καὶ διὰ τῆς ἀγάπης τοῦ πνεύματος". καὶ ταῦτα μὲν γέγραπται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, ἐν δὲ τῇ πρὸς Κορινθίους πάλιν λέγει· „ὅτι ὁ λόγος μου καὶ τὸ κή-
25 ρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως, ἵνα ἡ πίστις ἡμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων ἀλλ' ἐν δυνάμει θεοῦ". καὶ πάλιν λέγει „ὅτι καθὼς γέγραπται Ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ὁ θεὸς ἡτοίμασεν
30 τοῖς ἀγαπῶσιν αὐτόν, ἡμῖν δὲ ὁ θεὸς ἀπεκάλυψεν διὰ τοῦ πνεύματος· τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ θεοῦ. τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτως καὶ τὰ τοῦ θεοῦ οὐδεὶς ἔγνωκεν, εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ". καὶ πάλιν λέγει „ψυχικὸς δὲ ἄν-
35 θρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ". ὁρᾷς ὅτι πανταχοῦ τῆς γραφῆς πνεῦμα κηρύττεται καὶ οὐδαμοῦ κτιστὸν ὀνομάζεται; τί δ' ἂν εἴπωσιν οἱ ἀσεβεῖς, τοῦ κυρίου ἀποστέλλοντος τοὺς μαθητὰς „βαπτίζειν ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος"; ἀναντιρρήτως κοινωνίαν καὶ ἑνότητα

ἔχοντα[..], καθ' ἣν οὔτε θεότητες τρεῖς οὔτε κυριότητες [οὔτε ἁγιότητες], ἀλλ' ἀληθῶς, τῶν τριῶν προσώπων μενόντων βεβαίως, τῶν τριῶν τὴν ἕνωσιν ὁμολογητέον. οὕτω γὰρ καὶ τὸ [ἀποστέλλον καὶ τὸ] ἀποστελλόμενον οἰκείως ἂν πιστεύοιτο, καθ' ὃ πατὴρ τὸν υἱὸν ἀπέστειλεν καὶ υἱὸς τὸ πνεῦμα ἀποστέλλει· ἓν 5 δὲ πρόσωπον οὐκ ἂν πέμψειεν αὐτὸ ἑαυτό. οὐκ ἂν γάρ τις εἴποι πατέρα σαρκωθέντα. τὰ γὰρ τῆς πίστεως ὁμολογήματα ταῖς τῶν αἱρέσεων οὐ συνδραμεῖται κακοδοξίαις. δεῖ δὲ τοῖς θείοις καὶ ἀποστολικοῖς δόγμασιν ἕπεσθαι τὰς ἡμετέρας ἐννοίας, οὐ τὰς ἡμετέρας ἀδυνάτους φαντασίας τὰ τῆς θείας πίστεως 10 βιάζεσθαι δόγματα. ἐὰν δὲ εἴπωσι Πῶς τρία πρόσωπα καὶ πῶς μία θεότης; ἐροῦμεν αὐτοῖς ὅτι τρία μὲν πρόσωπα καθ' ὃ ἓν μὲν θεοῦ πατρός, ἓν δὲ κυρίου υἱοῦ καὶ ἓν τοῦ ἁγίου πνεύματος, μία δὲ θεότης καθ' ὃ τοῦ πατρὸς ἑνὸς ὄντος, θεοῦ [38] εἰκών ἐστιν ὁ υἱός, τοῦτ' ἐστὶ θεὸς ἐκ θεοῦ, καὶ τὸ πνεῦμα ὁμοίως 15 καλεῖται τοῦ θεοῦ, καὶ τοῦτο φυσικῶς κατ' αὐτὴν τὴν οὐσίαν, οὐ κατὰ μετουσίαν θεοῦ· καὶ μία τῆς τριάδος οὐσία, ὅπερ ἐπὶ τῶν ποιημάτων οὐκ ἔστιν. οὐ γὰρ μία οὐσία θεοῦ καὶ τῶν ποιημάτων, ὅτι οὐδὲν τούτων τῇ οὐσίᾳ θεός, ἀλλ' οὐδὲ κύριος οὐδὲν τούτων κατ' οὐσίαν, ἀλλ' εἷς κύριος ὁ υἱὸς καὶ ἓν τὸ 20 πνεῦμα τὸ ἅγιον· λέγομεν δὲ καὶ μίαν θεότητα καὶ μίαν κυριότητα καὶ μίαν ἁγιότητα τὴν τριάδα· ὅτι τοῦ κυρίου ὁ πατὴρ ἀρχή, ἀιδίως αὐτὸν γεννήσας, καὶ πρωτότυπος τοῦ πνεύματος ὁ κύριος· οὕτω γὰρ καὶ ὁ πατὴρ κύριος καὶ ὁ υἱὸς θεὸς καὶ περὶ τοῦ θεοῦ εἴρηται ὅτι „πνεῦμα ὁ θεός". ὁμολογοῦμεν οὖν ἕνα 25 θεὸν ἀληθινόν, μίαν ἀρχήν, καὶ ἕνα υἱόν, ἀληθινὸν θεὸν ἐξ ἀληθινοῦ θεοῦ, φυσικῶς τὴν πατρικὴν θεότητα ἔχοντα, τοῦτ' ἐστὶν ὁμοούσιον τῷ πατρί, καὶ ἓν πνεῦμα ἅγιον φύσει καὶ ἀληθείᾳ τῶν πάντων ἁγιαστικὸν καὶ θεοποιὸν ἐκ τῆς οὐσίας τοῦ θεοῦ ὑπάρχον. τοὺς δὲ ἢ τὸν υἱὸν ἢ τὸ πνεῦμα τὸ ἅγιον κτίσμα 30 λέγοντας ἀναθεματίζομεν, τὰ δὲ ἄλλα πάντα ὁμολογοῦμεν ποιήματα καὶ δοῦλα κτισθέντα ὑπὸ θεοῦ δι' υἱοῦ [καὶ] ἐν πνεύματι ἁγίῳ ἁγιασθέντα. ἔτι ὁμολογοῦμεν τὸν υἱὸν τοῦ θεοῦ υἱὸν ἀνθρώπου γεγενῆσθαι, οὐκ ὀνόματι ἀλλὰ ἀληθείᾳ, προσλαβόντα σάρκα ἐκ Μαρίας παρθένου, καὶ εἶναι τέλειον αὐτὸν υἱὸν 35 θεοῦ καὶ αὐτὸν υἱὸν ἀνθρώπου, ἓν πρόσωπον, καὶ μίαν τὴν προσκύνησιν τοῦ λόγου καὶ τῆς σαρκὸς ἣν ἀνέλαβεν. καὶ ἀναθεματίζομεν τοὺς διαφόρους προσκυνήσεις ποιοῦντας, μίαν θεϊκὴν καὶ μίαν ἀνθρωπίνην, καὶ προσκυνοῦντας τὸν ἐκ Μαρίας ἄνθρω-

πον ὡς ἕτερον ὄντα παρὰ τὸν ἐκ θεοῦ θεόν. οἴδαμεν γὰρ ὅτι „ἐν ἀρχῇ μὲν ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος“, γενόμενον δὲ αὐτὸν ἄνθρωπον διὰ τὴν ἡμετέραν σωτηρίαν προσκυνοῦμεν οὐχ ὡς ἴσον ἐν ἴσῳ γενόμενον
5 τῷ σώματι, ἀλλ' ὡς δεσπότην προσλαβόντα τὴν τοῦ δούλου μορφήν. ὁμολογοῦμεν τὸ πάθος τοῦ κυρίου κατὰ σάρκα, τὴν ἀνάστασιν ἐν δυνάμει θεότητος αὐτοῦ, τὴν εἰς οὐρανοὺς ἀνάβασιν, τὴν ἔνδοξον αὐτοῦ παρουσίαν ἐρχομένου ἐπὶ κρίσει ζώντων καὶ νεκρῶν καὶ ζωῇ αἰωνίῳ τῶν ἁγίων. καὶ ἐπειδή τινες
10 παρηνόχλησαν ἡμῖν, ἀνατρέπειν ἐπιχειροῦντες τὴν πίστιν ἡμῶν τὴν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν χριστόν, οὐ θεὸν [39] σαρκωθέντα ὁμολογοῦντες αὐτὸν ἀλλὰ ἄνθρωπον θεῷ συναφθέντα, τούτου χάριν ὁμολογίαν ποιούμεθα περὶ τῆς προειρημένης πίστεως, ἐκβάλλοντες τὴν ἄπιστον ἀντιλογίαν. θεὸς γὰρ
15 σαρκωθεὶς ἀνθρωπίνῃ σαρκὶ καθαρὰν ἔχει τὴν ἰδίαν ἐνέργειαν, νοῦς ἀήττητος ὢν τῶν ψυχικῶν καὶ σαρκικῶν παθημάτων καὶ ἄγων τὴν σάρκα καὶ τὰς σαρκικὰς κινήσεις θεϊκῶς τε καὶ ἀναμαρτήτως καὶ οὐ μόνον ἀκράτητος θανάτῳ, ἀλλὰ καὶ λύων θάνατον. καὶ ἐστὶ θεὸς ἀληθινὸς ὁ ἄσαρκος ἐν σαρκὶ φανερω-
20 θείς, τέλειος τῇ ἀληθινῇ καὶ θείᾳ τελειότητι, οὐ δύο πρόσωπα οὐδὲ δύο φύσεις· οὐδὲ γὰρ τέσσαρα προσκυνεῖν [ἡμᾶς] λέγομεν, θεὸν καὶ υἱὸν θεοῦ καὶ ἄνθρωπον καὶ πνεῦμα ἅγιον. δι' ὃ καὶ ἀναθεματίζομεν τοὺς οὕτως ἀσεβοῦντας, τοὺς ἄνθρωπον ἐν τῇ θείᾳ δοξολογίᾳ τιθέντας· ἡμεῖς γὰρ φαμὲν ἄνθρωπον γεγενῆσθαι
25 τὸν τοῦ θεοῦ λόγον πρὸς σωτηρίαν ἡμῶν, ἵνα τὴν ὁμοίωσιν τοῦ ἐπουρανίου λάβωμεν καὶ θεοποιηθῶμεν πρὸς ὁμοιότητα τοῦ κατὰ φύσιν ἀληθινοῦ υἱοῦ τοῦ θεοῦ, κατὰ σάρκα δὲ υἱοῦ ἀνθρώπου κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. πιστεύομεν τοίνυν εἰς ἕνα θεόν, τοῦτ' ἐστὶν εἰς μίαν ἀρχήν, τὸν θεὸν τοῦ νόμου καὶ
30 τοῦ εὐαγγελίου, δίκαιον καὶ ἀγαθόν, καὶ εἰς ἕνα κύριον Ἰησοῦν χριστόν; θεὸν ἀληθινόν, τοῦτ' ἐστὶν εἰκόνα [τοῦ μόνου] ἀληθινοῦ θεοῦ, δημιουργὸν πάντων ὁρατῶν τε καὶ ἀοράτων, υἱὸν θεοῦ καὶ γέννημα μονογενὲς καὶ ἀΐδιον, λόγον ζῶντα καὶ ὑφεστῶτα [καὶ ὑποστατικὸν] καὶ ἐνεργόν, ἀεὶ συνόντα τῷ πατρί, καὶ εἰς
35 ἓν ἅγιον πνεῦμα, καὶ εἰς παρουσίαν ἔνδοξον τοῦ υἱοῦ τοῦ θεοῦ, σάρκα λαβόντος τὴν ἐκ παρθένου, τοῦ ἀνθ' ἡμῶν ὑπομείναντος πάθη καὶ θάνατον καὶ ἐλθόντος εἰς ἀνάστασιν τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀναληφθέντος εἰς οὐρανούς, καὶ εἰς τὴν μέλλουσαν ἔνδοξον αὐτοῦ παρουσίαν, καὶ εἰς μίαν ἁγίαν ἐκκλησίαν, ἄφεσιν ἁμαρ-

τιῶν, σαρκὸς ἀνάστασιν, ζωὴν αἰώνιον. ὁμολογοῦμεν ὁμοούσιον εἶναι τῷ πατρὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα καὶ μίαν τὴν οὐσίαν τῆς τριάδος, τοῦτ' ἐστὶν μίαν θεότητα, φυσικῶς ἀγεννήτου μὲν ὄντος τοῦ πατρός, γεννηθέντος δὲ τοῦ υἱοῦ ἐκ πατρὸς ἀληθινῇ γεννήσει, οὐ ποιήσει τῇ ἐκ βουλήσεως, τοῦ [δὲ] πνεύματος ἐκ 5 τῆς οὐσίας τοῦ πατρὸς δι' υἱοῦ ἀιδίως ἐκπεμφθέντος, ἁγιαστικοῦ τῆς ὅλης κτίσεως. ὁμολογοῦμεν δὲ καὶ σαρκωθέντα τὸν λόγον καὶ φανερωθέντα ἐν σαρκικῇ γεννήσει τῇ ἐκ παρθένου, οὐκ ἐν ἀνθρώπῳ ἐνεργήσαντα. τοὺς δὲ κοινωνοῦντας **[40]** τοῖς ἐκβάλλουσι τὸ ὁμοούσιον ὡς ἀλλότριον τῶν γραφῶν καὶ τὶ ἐκ τῆς 10 τριάδος κτιστὸν λέγουσι καὶ χωρίζουσι τῆς μιᾶς φυσικῆς θεότητος ἀλλοτρίους ἡγούμεθα καὶ οὐδενὶ τῶν τοιούτων κοινωνοῦμεν. εἷς θεὸς ὁ πατήρ, ἡ θεότης ἡ μόνη, θεὸς δὲ καὶ ὁ υἱός, εἰκὼν τῆς μιᾶς καὶ μόνης θεότητος ὢν ἀληθὴς κατὰ γέννησιν καὶ φύσιν, ἣν ἐκ τοῦ πατρὸς ἔχει, κύριος εἷς ὁ υἱός, ὡσαύτως 15 δὲ καὶ τὸ πνεῦμα, τὴν τοῦ υἱοῦ κυριότητα διαπέμπον εἰς τὴν ἁγιαζομένην κτίσιν. υἱὸς ἐπεδήμησε κόσμῳ, σάρκα ἐκ παρθένου λαβών, ἣν ἐπλήρωσεν ἁγίου πνεύματος εἰς τὸν πάντων ἡμῶν ἁγιασμόν, θανάτῳ δὲ παραδοὺς τὴν σάρκα, τὸν θάνατον ἔλυσε διὰ τῆς ἀναστάσεως εἰς τὴν πάντων ἡμῶν ἀνάστασιν, ἀνῆλθεν 20 δὲ εἰς οὐρανόν, ὑψῶν καὶ δοξάζων ἀνθρώπους ἐν ἑαυτῷ, ἔρχεται δὲ τὸ δεύτερον, ἀποκαθιστῶν ἡμῖν τὴν αἰώνιον ζωὴν [τοῖς πιστεύουσι καὶ τηροῦσι τὰς ἐντολὰς αὐτοῦ.] εἷς υἱός· καὶ πρὸ τῆς σαρκώσεως καὶ μετὰ τὴν σάρκωσιν ὁ αὐτός, ἄνθρωπος καὶ θεός, ἑκάτερον ὡς ἕν. καὶ οὐχ ἕτερον μὲν πρόσωπον ὁ θεὸς 25 λόγος, ἕτερον δὲ ἄνθρωπος Ἰησοῦς, ἀλλ' αὐτὸς ὁ προϋπάρχων υἱὸς ἑνωθεὶς σαρκὶ ἐκ Μαρίας κατέστη, τέλειον καὶ ἅγιον καὶ ἀναμάρτητον ἄνθρωπον συνιστὰς ἑαυτὸν καὶ οἰκονομῶν εἰς ἀνανέωσιν ἀνθρωπότητος καὶ κόσμου παντὸς σωτήριον. θεὸς ὁ πατήρ, τέλειον ὢν πρόσωπον, τέλειον ἔχει τὸν λόγον ἐξ αὐτοῦ 30 γεγεννημένον ἀληθῶς, οὐχ ὡς λόγον λαλούμενον οὐδὲ καθ' υἱοθεσίαν υἱόν, ὡς ἄγγελοι καὶ ἄνθρωποι υἱοὶ θεοῦ καλοῦνται, ἀλλὰ υἱὸν φύσει θεόν, τέλειον δὲ [ἔχει] καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκ θεοῦ δι' υἱοῦ χορηγούμενον εἰς τοὺς υἱοθετουμένους, ζῶν καὶ ζωοποιόν, ἅγιον [καὶ] ἁγιαστικὸν τῶν μεταλαμβανόντων 35 αὐτοῦ, οὐχ ὡς ὑπ' ἀνθρώπου πνοὴν ἐμπνευσθεῖσαν ἀνυπόστατον, ἀλλ' ἐκ θεοῦ ζῶσαν, δι' ὅπερ ἡ τριὰς προσκυνητὴ δοξαστὴ καὶ τιμία καὶ σεβάσμιος, πατρὸς μὲν ἐν υἱῷ νοουμένου, καθ' ὅτι υἱὸς ἐξ αὐτοῦ, υἱοῦ δὲ ἐν πατρὶ δοξαζομένου, καθ' ὅ ἐστιν ἐκ πα-

τρός, φανερουμένου ἐν πνεύματι ἁγίῳ τοῖς ἁγιαζομένοις. ὅτι δὲ σεβάσμιός ἐστιν ἡ ἁγία τριὰς μὴ χωριζομένη μηδὲ ἀλλοτριουμένη, τοῦτο διδάσκει ἡμᾶς Παῦλος ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ δευτέρᾳ λέγων οὕτως „ἡ χάρις τοῦ κυρίου ἡμῶν
5 Ἰησοῦ χριστοῦ καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν". καὶ πάλιν διὰ τῆς ἐπιστολῆς δηλοῖ λέγων „ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς χριστὸν [41] καὶ χρίσας θεὸς καὶ σφραγισάμενος ἡμᾶς καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν". ἔτι δὲ σαφέστερον
10 ἐν τῇ αὐτῇ ἐπιστολῇ γράφει οὕτως „ἡνίκα ἂν ἀναγινώσκηται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται· ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς κύριον, περιαιρεῖται τὸ κάλυμμα· ὁ δὲ κύριος τὸ πνεῦμα. ὅπου δὲ τὸ πνεῦμα [κυρίου], ἐκεῖ ἐλευθερία· ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατο-
15 πτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος". καὶ πάλιν λέγει Παῦλος „ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς· ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο θεός, ὁ δοὺς ὑμῖν τὸν ἀρραβῶνα τοῦ πνεύματος"· καὶ πάλιν φησὶν „συνιστάνοντες ἑαυτοὺς ὡς θεοῦ διά-
20 κονοι, [ἐν] ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, [ἐν ἀνάγκαις,] ἐν στενοχωρίαις" καὶ τὰ ἑξῆς. εἶτα ἐπιφέρει λέγων „ἐν χρηστότητι, ἐν πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει θεοῦ". ἰδοὺ γὰρ καὶ ἐνταῦθα ὥρισεν ὁ ἅγιος τὴν ἁγίαν τριάδα, ὀνομάσας θεὸν καὶ λόγον καὶ πνεῦμα ἅγιον. καὶ
25 πάλιν λέγει „οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστε καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός". καὶ πάλιν „ἀλλὰ ἀπελούσασθε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν". καὶ πάλιν „ἢ οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν
30 ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν οὗ ἔχετε ἀπὸ θεοῦ; δοκῶ γὰρ κἀγὼ πνεῦμα θεοῦ ἔχειν". καὶ πάλιν καὶ περὶ τῶν υἱῶν Ἰσραὴλ διαλαλῶν ὡς βαπτισθέντων ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ φησὶν ὅτι „πάντες τὸ αὐτὸ πνευματικὸν ἔπιον πόμα· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα
35 ἦν ὁ χριστός". καὶ πάλιν λέγει „δι' ὃ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς ἐν πνεύματι θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν καὶ οὐδεὶς δύναται εἰπεῖν κύριον Ἰησοῦν εἰ μὴ ἐν πνεύματι ἁγίῳ. διαιρέσεις δὲ χαρισμάτων εἰσίν, τὸ δὲ αὐτὸ πνεῦμα, καὶ διαιρέσεις διακονιῶν εἰσιν καὶ ὁ αὐτὸς κύριος, καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν

καὶ ὁ αὐτός ἐστι θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν· ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον. ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος [42] δίδοται λόγος [σοφίας, ἑτέρῳ δὲ λόγος] γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ πνεύματι, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ 5 προφητεία, ἄλλῳ δὲ διάκρισις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν· πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἴδια ἑκάστῳ καθὼς βούλεται. καὶ καθάπερ τὸ σῶμα ἕν ἐστιν καὶ μέλη πολλὰ ἔχει, πάντα δὲ τὰ μέλη τοῦ σώματος πολλὰ ὄντα ἕν ἐστι σῶμα, οὕτως καὶ ὁ χριστός. καὶ γὰρ ἐν 10 ἑνὶ πνεύματι πάντες ἡμεῖς εἰς ἓν σῶμα ἐβαπτίσθημεν". καὶ πάλιν λέγει „εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε, καλῶς ἂν εἴχεσθε". ὁρᾷς ὅτι ἀχώριστόν ἐστι τὸ πνεῦμα τῆς θεότητος καὶ οὐκ ἄν τις 15 εὐσεβῶς φρονῶν κτίσμα αὐτὸ ὑπολάβοι. ἐν δὲ τῇ πρὸς Ἑβραίους ἐπιστολῇ πάλιν γράφει οὕτως „πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι ὑπὸ τοῦ κυρίου διὰ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ θεοῦ σημείοις καὶ τέρασι καὶ ποικίλαις 20 δυνάμεσι καὶ πνεύματος ἁγίου μερισμοῖς". καὶ πάλιν ἐν τῇ αὐτῇ ἐπιστολῇ φησιν „δι' ὅ, καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδο- 25 κίμασάν με καὶ εἶδον τὰ ἔργα μου τεσσεράκοντα ἔτη· δι' ὃ προσώχθισα τῇ γενεᾷ ταύτῃ καὶ εἶπον Ἀεὶ πλανῶνται τῇ καρδίᾳ αὐτῶν, διότι οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου". κἀνταῦθα ἀκουέτωσαν Παύλου μηδαμῶς χωρίζοντος τὸ πνεῦμα τὸ ἅγιον 30 τῆς θεότητος τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ἀλλὰ σαφῶς δηλοῦντος τὴν τοῦ ἁγίου πνεύματος διαλαλιὰν ἐκ προσώπου τοῦ θεοῦ ὑπάρχουσαν καὶ οὕτως ἀπὸ θεοῦ εἰρημένην, καθὼς ἀποδέδοται ἐν τοῖς προειρημένοις ῥητοῖς. διὰ τοῦτο γὰρ εἷς θεὸς ἡ ἁγία τριὰς πιστεύεται καὶ προσκυνεῖται κατὰ τὰ ἐκ τῆς θείας γραφῆς 35 μαρτυρηθέντα, εἰ καὶ τὰ μάλιστα πανταχοῦ ἀπὸ τῶν θείων γραφῶν ἀναρίθμητοι διδασκαλίαι ἡμῖν ὑπάρχουσι, συμμαρτυροῦσαι τῇ ἀποστολικῇ καὶ ἐκκλησιαστικῇ πίστει.

[67] Ἐπιστολὴ Ἰουλίου ἐπισκόπου Ῥώμης πρὸς Διονύσιον τῆς Ἀλεξανδρείας ἐπίσκοπον.

Θαυμάζω πυνθανόμενος περί τινῶν ὁμολογούντων μὲν θεὸν ἔνσαρκον τὸν κύριον, περιπιπτόντων δὲ τῇ διαιρέσει τῇ κακῶς
5 ὑπὸ τῶν παυλιανιζόντων εἰσαχθείσῃ. ἐκεῖνοι μὲν γὰρ Παύλῳ τῷ Σαμοσατεῖ δουλεύοντες ἄλλον μὲν τὸν ἐξ οὐρανοῦ λέγουσι, θεὸν ὁμολογοῦ[ν]τες αὐτόν, ἄλλον δὲ τὸν ἐκ γῆς, ἄνθρωπον, λέγοντες τὸν μὲν ἄκτιστον, τὸν δὲ κτιστόν, τὸν μὲν αἰώνιον, τὸν δὲ χθεσινόν, τὸν μὲν δεσπότην, τὸν δὲ δοῦλον, ἀσεβοῦντες, ἄν
10 τε προσκυνῶσιν, ὃν λέγουσι δοῦλον καὶ κτιστόν, ἄν τε μὴ προσκυνῶσι τὸν ἐξαγοράσαντα ἡμᾶς τῷ ἰδίῳ αἵματι. οἱ δὲ τὸν ἐξ οὐρανοῦ θεὸν ὁμολογοῦντες ἐκ τῆς παρθένου σεσαρκῶσθαι καὶ ἕνα εἶναι μετὰ τῆς σαρκὸς μάτην ταράσσουσιν, εἰς τὰ ῥήματα τῆς ἐκείνων ἀσεβείας ἐκφερόμενοι. λέγουσι γὰρ καὶ αὐτοὶ
15 (ὡς ἀκούω) δύο φύσεις, καίτοι τοῦ Ἰωάννου σαφῶς ἕνα ἀποδείξαντος τὸν κύριον ἐν τῷ λέγειν „ὁ λόγος σὰρξ ἐγένετο“ καὶ τοῦ Παύλου ἐν τῷ λέγειν „εἷς κύριος Ἰησοῦς χριστός, δι' οὗ τὰ πάντα“. εἰ γοῦν „εἷς“ ὁ ἐκ τῆς ἁγίας παρθένου τεχθεὶς ὠνόμασται καὶ αὐτός ἐστι „δι' οὗ τὰ πάντα γέγονε“, μία φύσις ἐστίν, ἐπειδὴ
20 πρόσωπον ἓν ἔχων, εἰς δύο οὐ διαιρεῖται, ἐπεὶ μηδὲ ἰδία φύσις τὸ σῶμα, ὡς ἰδία φύσις ἡ θεότης κατὰ τὴν σάρκωσιν, ἀλλ' ὥσπερ ἄνθρωπος μία φύσις, οὕτω καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος χριστός. εἰ δὲ οὐκ ἐπιγιγνώσκουσι τὸ καθ' ἕνωσιν ἕν, δύνανται καὶ εἰς πολλὰ μερίζειν τὸν ἕνα καὶ πολλὰς λέγειν
25 φύσεις, ἐπειδὴ πολυειδὲς τὸ σῶμα ἐξ ὀστέων καὶ νεύρων καὶ [68] φλεβῶν καὶ σαρκὸς καὶ δέρματος, ὀνύχων τε καὶ τριχῶν, αἵματός τε καὶ πνεύματος, ἅπερ ἅπαντα διαφορὰν μὲν ἔχει πρὸς ἄλληλα, μία δὲ φύσις ἐστὶν ἀνθρώπου, ὥστε καὶ ἡ τῆς θεότητος ἀλήθεια μετὰ τοῦ σώματός ἐστι καὶ εἰς δύο φύσεις οὐ
30 μερίζεται. οὔτε γὰρ οἷόν τε ἦν τὸ ὅλον υἱὸν ἀνθρώπου καλεῖσθαι καταβεβηκότα ἐξ οὐρανοῦ καὶ υἱὸν θεοῦ γεννηθέντα ἐκ γυναικός, εἰ δύο φύσεων διαίρεσιν ἐπιδέχεται· ἀλλὰ τὸ μὲν καταβεβηκὸς ἐξ οὐρανοῦ ἐκαλεῖτο ἂν υἱὸς θεοῦ καὶ οὐχ υἱὸς ἀνθρώπου, τὸ δὲ γεννηθὲν ἐκ γυναικὸς ἐκαλεῖτο υἱὸς ἀνθρώπου
35 καὶ οὐχ υἱὸς θεοῦ· καὶ τοῦτο ἕπεται τῇ παυλιανικῇ διαιρέσει. ἡμᾶς δὲ αἱ θεῖαι γραφαὶ διδάσκουσιν ὡς περὶ ἑνὸς τοῦ κυρίου φρονεῖν κατὰ τὴν ἐξ οὐρανοῦ κατάβασιν καὶ τὴν ἐκ γυναικὸς ἐπὶ γῆς γένεσιν. οἱ τοίνυν οὕτω φρονοῦντες μὴ εἰς ὁμοφωνίαν

τῶν τὰ ἐναντία φρονούντων ἐκβαινέτωσαν, ἵνα μὴ τῇ διανοίᾳ εὐφημοῦντες τοῖς ῥήμασι δυσφημῶσιν. ἀνάγκη γὰρ αὐτοὺς δύο λέγοντας φύσεις τὴν μὲν μίαν προσκυνεῖν, τὴν δὲ ἑτέραν μὴ προσκυνεῖν, καὶ εἰς μὲν θεϊκὴν βαπτίζεσθαι, εἰς δὲ τὴν ἀνθρωπίνην μὴ βαπτίζεσθαι. εἰ δὲ εἰς τὸν θάνατον τοῦ κυρίου βαπτι- 5 ζόμεθα, μίαν ὁμολογοῦμεν φύσιν τῆς ἀπαθοῦς θεότητος καὶ τῆς παθητικῆς σαρκός, ἵνα οὕτως εἰς θεὸν ᾖ τὸ βάπτισμα ἡμῶν καὶ εἰς τὸν θάνατον τοῦ κυρίου τελούμενον. καὶ γὰρ οὐ φοβούμεθα τοὺς συκοφάντας τοὺς διαιροῦντας εἰς δύο πρόσωπα τὸν κύριον, ἐάν, ἡμῶν τὴν ἕνωσιν προσβευόντων τὴν εὐαγγελι- 10 κὴν καὶ ἀποστολικήν, βλασφημῶσιν ἡμᾶς ὡς τὴν σάρκα λέγοντας ἐξ οὐρανοῦ. [....] οὐδὲ γάρ, ὅτε λέγομεν τὸν υἱὸν τοῦ θεοῦ γενόμενον ἐκ γυναικός, δυνάμεθα βλασφημεῖσθαι ὡς τὸν λόγον ἐκ γῆς λέγομεν καὶ μὴ ἐξ οὐρανοῦ. λέγομεν δὲ τὰ ἀμφότερα, καὶ ἐξ οὐρανοῦ τὸ ὅλον διὰ τὴν θεότητα καὶ ἐκ γυναικὸς τὸ ὅλον 15 διὰ τὴν σάρκα, οὐκ εἰδότες διαίρεσιν τοῦ ἑνὸς προσώπου οὐδὲ ἀποτέμνοντες τοῦ οὐρανίου τὸ γήϊνον οὐδὲ τοῦ γηΐνου τὸ οὐράνιον· ἀσεβὴς γὰρ ἡ διατομή. μὴ οὖν τοῖς διατέμνουσι πρόφασιν διδότωσαν οἱ δύο λέγοντες φύσεις· οὔτε γὰρ τὸ σῶμα καθ' ἑαυτὸ φύσις ἐπὶ τοῦ ἑνὸς χριστοῦ, ἐπεὶ μηδὲ ζωοποιὸν 20 καθ' ἑαυτὸ μηδὲ διατέμνεσθαι δυνάμενον ἄνευ τοῦ ζωοποιοῦ λόγου — οὔτε ὁ λόγος καθ' ἑαυτὸν εἰς ἰδίαν μερίζεται φύσιν, ἣν ἔχει κατὰ τὸ ἄσαρκον, ἐπειδὴ ἐν σαρκὶ ὁ κύριος καὶ οὐκ ἄσαρκος ἐπεδήμησε τῷ κόσμῳ — οὔτε **[69]** τὸ κτιστὸν σῶμα χωρίζει τῆς ἀκτίστου θεότητος, ἵνα χωρίζῃ τις φύσιν κτιστήν — οὔτε μὴν 25 ὁ ἄκτιστος λόγος ἐπεδήμησε χωρὶς σώματος, ἵνα μερίζῃ τις ἀκτίστου φύσιν. εἰ δὲ ἓν ἑκάτερόν ἐστι κατὰ τὴν ἕνωσιν καὶ τὴν σύνοδον καὶ τὴν σύνθεσιν τὴν ἀνθρωποειδῆ, ἓν καὶ τὸ ὄνομα τῷ συνθέτῳ προσεφαρμόζεται, [....] ἀπὸ μὲν τῆς θεότητος τὸ ἀπαθές, ἀπὸ δὲ τοῦ σώματος τὸ παθητόν. καὶ ὥσπερ ἀκούοντες τοῦ 30 Παύλου τὸν χριστὸν παθητὸν λέγοντος, οὐ μερικῶς ἠκούσαμεν οὔτε τὴν θεότητα παθητὴν ἐνομίσαμεν, οὕτως καὶ τὸ κτιστὸν καὶ δοῦλον οὔτε μερικῶς λέγεται οὔτε τὴν θεότητα ποιεῖ κτιστὴν οὔτε δούλην. καὶ πάλιν τὸ ἄκτιστον οὔτε τὴν σάρκα ἄκτιστον ποιεῖ οὔτε μερικῶς ἐπὶ τῆς θεότητος μόνης λέγεται. ταῦτα δὲ 35 οὕτω φρονοῦντες μενέτωσαν ἐν ἡσυχίᾳ τὰς περιττὰς ζητήσεις ἐκκλίνοντες, καὶ ῥημάτων ἕνεκα μὴ διαιρῶμεν τὰ δόγματα. συμπεφώνηται οὖν καὶ συμφώνως ὡμολόγηται τὸ σῶμα ἐκ τῆς παρθένου, ἡ θεότης ἐξ οὐρανοῦ, τὸ σῶμα πέπλασται ἐν κοιλίᾳ,

ἡ θεότης ἄκτιστος αἰώνιος, ἵνα ἑνωθέντος τοῦ λόγου τῷ σώματι ἀδιαίρετος μείνῃ ἡ θεότης. εἰ δὲ τῇ γραφῇ σύνηθες καὶ τὸ ὅλον θεολογεῖν καὶ τὸ ὅλον ἀνθρωπολογεῖν, ἑπώμεθα καὶ ἡμεῖς τοῖς θείοις ῥήμασι καὶ μὴ μερίζωμεν τὰ ἀμέριστα μήτε τὴν
5 θεότητα διαιροῦντες τοῦ σώματος ὡς δι' εὐφημίαν, ὅταν τὸ σῶμα πεπλασμένον ἐκ κοιλίας λέγηται — μήτε τὸ σῶμα μερίζοντες τῆς θεότητος ὡς δι' ὁμολογίαν τῆς παρουσίας, ὅταν ἡ θεότης ἄκτιστος δοξάζηται. πῶς οὖν οὐ λυπηρὸν τοὺς ταῦτα καλῶς οὕτως ὁμολογοῦντας ἢ φρονοῦντας (καθὼς καὶ παρέλαβον) διστάζειν
10 πρὸς ἀλλήλους διὰ ῥήματα; ὅταν οἱ μὲν τῷ τοῦ σώματος ὀνόματι χρῶνται ἐπὶ τοῦ λόγου, καθάπερ ὁ Ἰωάννης σάρκα λέγων γεγενῆσθαι τὸν λόγον, οἱ δὲ τὸ τῆς θεότητος ὄνομα λαμβάνωσιν ἐπὶ τοῦ ὅλου δούλου, ὥσπερ ὁ Παῦλος· λέγω δὲ „ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν". προσκυνεῖν ὁμολογεῖ χριστὸς κατὰ
15 τὴν σάρκα τὸν πατέρα λέγων „ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν" καὶ οὐ χωρίζεται ἡ θεότης. προσκυνεῖται κατὰ τὴν θεότητα καὶ οὐ χωρίζεται τὸ σῶμα τῇ τῆς θεότητος προσκυνήσει. οὔτε ἀφιστῶμεν τὸ σῶμα (οὐδὲ γὰρ δυνατόν), ὅτε προσκυνοῦμεν, τοῦ σώματος τοῦ πεπονθότος καὶ οὐ [70] χωρίζεται ἡ θεότης·
20 ἥνωται γάρ. ἔδει γὰρ νικηθῆναι τὸν θάνατον ὑπὸ τοῦ θεοῦ καὶ νενίκηται. παραινεῖτε δὲ τοῖς μάτην περὶ ταῦτα διαφερομένοις καὶ φυλασσέσθω ἡ κατὰ τὸ δόγμα ὁμολογία· μὴ διαιρώμεθα διὰ τὰ ῥήματα. τὸ μὲν γὰρ τοῖς δόγμασι διαφέροντας τοῖς ῥήμασι προσποιεῖσθαι συμφωνεῖν ἀσεβές, τὸ δὲ τοῖς δόγμασι
25 συμφωνοῦντας τοῖς ῥήμασι διαφέρεσθαι μάταιον καὶ μωρόν. τοῦτο δὲ συμφωνούμενον ἔχοντες ὅτι θεὸς ἔνσαρκος ὁ χριστὸς καὶ ἐξ οὐρανοῦ καὶ γῆς ὁ αὐτὸς τῇ μορφῇ δοῦλος καὶ τῇ δυνάμει θεός, μενέτωσαν ἐν ὁμονοίᾳ καὶ μὴ μάτην διαφερέσθωσαν μηδὲ εἰς τὴν τῶν αἱρετικῶν λογομαχίαν ἐκπιπτέτωσαν, ἀλλὰ
30 τῆς ἐκκλησίας τὴν ἁπλότητα μᾶλλον ζηλωσάτωσαν. ἔρρωσο.

Τοῦ μακαρίου Ἰουλίου ἀρχιεπισκόπου Ῥώμης πρὸς Προσδόκιον ἐπιστολή.

Τῷ δεσπότῃ μου τῷ ποθεινοτάτῳ Προσδοκίῳ Ἰούλιος ἐν κυρίῳ χαίρειν. τὸ φρόνημα ἡμῶν κατὰ τὴν ἀποστολικὴν παρά-
35 δοσιν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος μία θεότης ἀληθινή, μία προσκύνησις καὶ δοξολογία υἱοῦ πρὸς πατέρα ἐν τῇ προσκυνήσει τοῦ ἁγίου πνεύματος. ὁ δὲ θεότητα ἑτέραν ἐπεισάγων ἀνάθεμα καὶ ὁ προστιθεὶς ἑτέραν ὁμολογίαν παρὰ τὰς φωνὰς τῶν Σεραφεὶμ τῶν „ἅγιος ἅγιος ἅγιος κύριος Σαβαώθ,

πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ" ἀνυμνούντων εἰς τὴν θεϊκὴν τριάδα, ὡς ὁ Ἰωάννης καὶ ὁ Παῦλος μαρτυροῦσιν, ὁ μὲν Ἰωάννης υἱοῦ δόξαν πεπληρωκέναι εἰπὼν τὸν προφήτην ὑμνηθεῖσαν, ὁ δὲ Παῦλος πνεύματος ἁγίου τὴν αὐτὴν δόξαν δηλῶν ἐν τῷ λέγειν ἁγίου πνεύματος εἶναι τὰς φωνὰς τὰς λαληθείσας ὑπὸ 5 τοῦ θεωρηθέντος καὶ δοξασθέντος. ὅτι πνεύματος δόξα υἱοῦ δόξα, καὶ υἱοῦ δόξα καὶ πατρὸς δόξα· δι' ὃ μία οὐσία τῆς τριάδος ὑπὸ τῶν συνόδων διὰ τῆς οἰκουμένης ἀναβοᾶται. πᾶς οὖν ὅστις χωρίζει τῆς τοῦ θεοῦ μόνου οὐσίας τὸν υἱὸν καὶ τὸ πνεῦμα ὡς ἐκ βουλῆς ὄντα καθάπερ καὶ ἡμεῖς, οὐκ ἐκ τῆς οὐσίας αὐτῆς 10 ὡς ἐν ὁμοιώματι κατὰ τὴν αὐτήν, ἔστω ἀνάθεμα. κηρύσσεται δὲ εἰς συμπλήρωσιν τῆς πίστεως καὶ σαρκωθεὶς ἐκ παρθένου Μαρίας ὁ τοῦ θεοῦ υἱὸς καὶ σκηνώσας ἐν ἀνθρώποις, οὐκ ἐν ἀνθρώπῳ ἐνεργήσας (τοῦτο γὰρ ἐπὶ προφητῶν ἐστι καὶ ἀποστόλων), τέλειος θεὸς ἐν σαρκὶ καὶ τέλειος ἄνθρωπος ἐν πνεύματι, 15 οὐ δύο υἱοί, εἷς μὲν γνήσιος υἱὸς ἀναλαβὼν ἄνθρωπον, [71] ἕτερος δὲ θνητὸς ἄνθρωπος ἀναληφθεὶς ὑπὸ θεοῦ, ἀλλ' εἷς μονογενὴς ἐν οὐρανῷ, μονογενὴς ἐπὶ γῆς, θεὸς ἐν ἀληθείᾳ, ἄνθρωπος τῇ σαρκικῇ μορφώσει, καθ' ὁμοίωσιν ἑαυτοῦ σώζων κόσμον κατὰ μετάληψιν τοῦ ἰδίου πνεύματος, ὃ δωρεῖται 20 δι' ἐμφυσήσεως, ὡς ἄνθρωπος ἐν σχήματι ἀνθρωπίνῳ βασιλεύων ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, ὑπὸ πάντων ὡς εἷς καὶ μόνος κύριος δοξαζόμενος εἰς δόξαν τοῦ πατρός. ἀμήν. εἰ δέ τις ἄνθρωπον ὑπὸ θεοῦ προσληφθέντα λέγει τὸν ἐκ Μαρίας υἱὸν καὶ δύο πρόσωπα [τέλεια] ἑνωθέντα, γινωσκέτω 25 τῆς θείας ἐλπίδος ἀλλότριος ὤν. ὁ γὰρ θεὸς λόγος, δι' οὗ τὰ πάντα [γέγονεν, Ἰησοῦς ἐστι, δι' οὗ τὰ πάντα] ὡς Ἰωάννης καὶ Παῦλος ἐδίδαξαν, οὐ τὸν λόγον ἀνειληφέναι Ἰησοῦν τὸν ἐκ Μαρίας τεχθέντα, ἀλλ' αὐτὸν ἐλθεῖν εἰς τὸν κόσμον γεννώμενον ἐκ γυναικός, οὐδὲ κατῳκηκέναι τὸν ἐξ οὐρανοῦ ἐν ἀνθρώπῳ τῷ 30 ἐκ γῆς χοϊκῷ, ἀλλ' αὐτὸν τὸν δεύτερον Ἀδὰμ ἐπουράνιον εἶναι· ὅτε ἐπουράνιός ἐστιν ὁ λόγος ὁ τὴν σάρκα ἔχων ἐκ Μαρίας, καὶ ἡμᾶς δὲ διὰ τοῦ ἐπουρανίου ἐπουρανίους καθ' ὁμοίωσιν ποιῶν, ὄντας χοϊκούς· ἐκλήθημεν γὰρ εἰς κοινωνίαν υἱοῦ τοῦ θεοῦ, ὃς ἐκοινώνησεν ἡμῖν καὶ τοῦ θανάτου καὶ ὀφειλομένου 35 ἀνθρώπῳ σταυροῦ, κύριος ὢν τῆς δόξης, οὐ κρατούμενος ὑπὸ θανάτου ὡς πᾶς ἄνθρωπος, ἀλλὰ καταργῶν τὸν θάνατον καὶ φῶς καὶ ζωὴν καὶ ἀφθαρσίαν καὶ τὴν ἰδίαν ἡμῖν νίκην διδούς. ὥστε καὶ ἀνάθεμα ἔστω πᾶς, ὃς τὸν ἐκ Μαρίας υἱὸν οὐχ ὁμολογεῖ

θεὸν λόγον ἔνσαρκον, ὁμοούσιον τῷ πατρὶ καὶ ἐξ ἀρχῆς ὄντα, ἄτρεπτον δὲ ἐν τῇ σαρκώσει καὶ ἀπαθῆ ἐν τοῖς πάθεσιν. ὁμοίως ἀνάθεμα ἔστω καὶ ὁ τὴν σάρκα τοῦ σωτῆρος μὴ λέγων ἐκ Μαρίας, ἀλλ' ἐξ οὐρανοῦ, ἢ ἄκτιστον φύσει τὴν [72] κτίσιν καὶ
5 ἐξ οὐκ ὄντων. τῇ δὲ πρὸς τὸν ἄκτιστον θεὸν ἑνώσει ὁ λέγων θεϊκὸν τὸ σῶμα καὶ προσκυνοῦν κατὰ τὸ συναμφότερον ὡς ἕνα ἄκτιστον θεόν, μακάριος ἔσται. μὴ σκανδαλισθῇς ἐπὶ τῇ σαρκὶ καὶ τοῖς πάθεσιν αὐτοῦ, ἀλλ' αὐτὸν ἀσωμάτως προσκύνει τὸν μετὰ τοῦ ἰδίου σώματος προσκυνούμενον ὡς ἕνα καὶ μό-
10 νον υἱὸν τοῦ θεοῦ ἐξ αἰῶνος καὶ εἰς αἰῶνας. ὁμολογεῖν δὲ μεμαθήκαμεν καὶ τὴν δευτέραν αὐτοῦ παρουσίαν ἐν [τ]ῇ διδασκαλίᾳ τοῦ ἁγίου βαπτίσματος. ἀμήν.

Ἰουλίου ἀρχιεπισκόπου Ῥώμης ἐγκύκλιον.

Τοῖς πανταχοῦ ἐπισκόποις τῆς καθολικῆς ἐκκλησίας, ἀγαπη-
15 τοῖς ἀδελφοῖς, Ἰούλιος ἐν χριστῷ χάριν. Πέπεισμαι μέν, ἀγαπητοὶ ἀδελφοί, τὴν πίστιν ἡμῶν τὴν περὶ τὸν κύριον καὶ θεὸν καὶ βασιλέα ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας ἀπὸ τοῦ Ὠσηὲ τοῦ προφήτου περὶ τοῦ θεοῦ λόγου καὶ τοῦ πατρὸς ὡς περὶ κυρίου „οὐ μὴ ἐγκαταλείπω τοῦ ἐξαλειφθῆναι τὸν Ἰακώβ, ὅτι θεὸς ἐγώ
20 εἰμι καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν· ὀπίσω κυρίου πορεύσομαι“. ταῦτα καὶ διὰ τούτων ὅσα ὁ θεὸς λόγος ἐνανθρωπήσας πρὸς τοὺς ἄνθρωπον αὐτὸν ἁπλῶς ἅγιον, ἀλλ' οὐ θεὸν εἶναι ὁμολογοῦντας „θεὸς ἐγώ εἰμι καὶ οὐκ ἄνθρωπος“. πιστεύω τῇ ἐν μιᾷ θεότητι καὶ οὐσίᾳ δοξαζομένῃ
25 τε καὶ προσκυνουμένῃ τριάδι, τοῦτ' ἐστὶ πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, καὶ τῇ ἐξ οὐρανῶν καθόδῳ καὶ ἐξ ἁγίας παρθένου Μαρίας σαρκώσει καὶ ἐπιφανείᾳ τοῦ θεοῦ λόγου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ καὶ ἐν ἀνθρώποις φανερώσει αὐτοῦ ὄντος θεοῦ καὶ ἀνθρώπου, οὐκ ἄλλου μὲν θεοῦ, ἄλλου δὲ ἀνθρώπου,
30 ἀλλὰ μίαν ὑπόστασιν καὶ ἓν πρόσωπον τοῦ θεοῦ λόγου καὶ τῆς ἐκ Μαρίας σαρκός, ἐκ θεοῦ καὶ ἐκ γυναικός, τοῦ αὐτοῦ παθητοῦ καὶ ἀπαθοῦς, σαρκὶ μὲν πάσχοντος καὶ τὸ ἡμέτερον πάθος ἀναδεχομένου, θεότητι δὲ πάθος διαλύσαντος καὶ θανάτῳ σωτηρίῳ τὸν ἡμέτερον θάνατον καταλύσαντος, φωτίσαντος δὲ ζωὴν καὶ
35 ἀφθαρσίαν πιστοῖς δωρουμένου, μελλόντων ἀγαθῶν ἀπόλαυσιν καὶ βασιλείας οὐρανίου καὶ θεϊκῆς σὺν δόξῃ κληρονομίαν.

[75 fin.] Τοῦ μακαρίου Ἰουλίου ἀρχιεπισκόπου Ῥώμης. Περὶ τῆς ἐν χριστῷ ἑνότητος τοῦ σώματος πρὸς τὴν θεότητα.

Ἅγιον ἐξ ἀρχῆς γέννημα καλῶς ὁμολογεῖται καὶ κατὰ τὸ

σῶμα [............] ὁ κύριος καὶ κατὰ τοῦτο διαλλάττει παντὸς σώματος· οὐδὲ γὰρ ὅλως ἐν μήτρᾳ συνελήφθη χωρὶς θεότητος, ἀλλ' ἡνωμένως πρὸς ταύτην, ὡς ὁ ἄγγελός φησιν „πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου **[76]** ἐπισκιάσει σοι· δι' ὃ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ". καὶ νῦν 5 οὐρανία κάθοδος, οὐ μόνον γέννησις ἡ ἐκ γυναικός. εἴρηται γὰρ οὐ μόνον τὸ „γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον", ἀλλὰ καὶ „οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου". καὶ οὐκ ἔστιν ἰδίως κτίσμα τὸ σῶμα εἰπεῖν, ἀχώριστον ὂν ἐκείνου πάντως οὗ σῶμά 10 ἐστιν, ἀλλὰ τῆς τοῦ ἀκτίστου κεκοινώνηκεν ἐπωνυμίας καὶ τῆς τοῦ θεοῦ κλήσεως, ὅτι πρὸς ἑνότητα θεῷ συνῆπται, καθ' ἃ λέγεται ὅτι „ὁ λόγος σὰρξ ἐγένετο" καὶ παρὰ τῷ ἀποστόλῳ „ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν". δεῖ δὲ ἡμᾶς, ὥσπερ τὰ ἔνδοξα τῷ σώματι προσάπτομεν ἐκ τῆς θείας συλλήψεως καὶ 15 τῆς πρὸς θεὸν ἑνότητος, οὕτω καὶ τὰ ἄδοξα τὰ ἀπὸ τοῦ σώματος μὴ ἀρνεῖσθαι, ἅπερ ἐστὶ τὸ „γενέσθαι ἐκ γυναικὸς" κατὰ τὸν ἀπόστολον καὶ τὸ „πλασθῆναι ἐκ κοιλίας δοῦλον θεῷ" κατὰ τὸν προφήτην, τὸ ὅλως ἄνθρωπον ὀνομάζεσθαι καὶ υἱὸν ἀνθρώπου, τὸ ἀριθμεῖσθαι μετὰ Ἀβραὰμ πολλὰς γενεὰς μεθ' 20 ἃς γέγονεν ἄνθρωπος. ἀνθρωπίνως μέντοι καὶ λέγειν καὶ ἀκούειν χρή, ὥσπερ, ὅτε ὅλον ἄνθρωπος καλεῖται, μή τις ἀρνήσηται τὴν θείαν οὐσίαν, τὴν τῷ ὀνόματι μετὰ τοῦ σώματος δηλουμένην, καὶ ὅτε δοῦλος κατὰ τὸ σῶμα ὀνομάζεται, μή τις ἀρνήσηται τὴν κυριευτικὴν φύσιν, δουλείας ὀνόματι μετὰ τοῦ σώμα- 25 τος δηλουμένην, καὶ πάλιν, ὅτε καταβεβηκὼς ἐξ οὐρανοῦ κηρύσσεται ἄνθρωπος ἐπουράνιος, μή τις ἀρνήσηται τὴν τοῦ σώματος ἀπὸ γῆς πρὸς θεότητα συμπλοκήν. οὐ διατέμνεται μὲν γὰρ οὐδὲ πράγματι οὐδὲ ὀνόματι, ὅτε δοῦλος ὁ κύριος καλεῖται καὶ ὅτε πλαστὸς ὁ ἄκτιστος ὀνομάζεται τῇ συναφείᾳ τῇ πρὸς τὴν 30 τοῦ δούλου μορφὴν καὶ πρὸς τὸ πλασσόμενον σῶμα. ὁμολογεῖται δὲ ἐν αὐτῷ τὸ μὲν εἶναι κτιστὸν ἐν ἑνότητι τοῦ ἀκτίστου, τὸ δὲ ἄκτιστον ἐν συγκράσει τοῦ κτιστοῦ, φύσεως μιᾶς ἐξ ἑκατέρου μέρους συνισταμένης, μερικὴν ἐνέργειαν καὶ τοῦ λόγου συντελέσαντος εἰς τὸ ὅλον, μετὰ τῆς θεϊκῆς τελειότητος, 35 ὅπερ [καὶ] ἐπὶ τοῦ κοινοῦ ἀνθρώπου ἐκ δύο μερῶν ἀτελῶν γίνεται, φύσιν μίαν πληρούντων καὶ ἑνὶ ὀνόματι δηλουμένων, ἐπεὶ καὶ σὰρξ τὸ ὅλον καλεῖται, μὴ περιαιρουμένης ἐν τούτῳ τῆς ψυχῆς, καὶ ψυχὴ τὸ ὅλον προσαγορεύεται, οὐ περιαιρουμένου τοῦ

σώματος, εἰ καὶ ἕτερόν τι ἐστὶ παρὰ τὴν ψυχήν. ὁ θεὸς οὖν ὁ ἐνανθρωπήσας, ὁ κύριος καὶ προὔχων [77] τῆς γεννήσεως, εἰ καὶ γεγέννηται ἀπὸ γυναικός, κύριος ὤν, εἰ καὶ μεμόρφωται κατὰ τοὺς δούλους, πνεῦμα ὤν, εἰ καὶ σὰρξ κατὰ τὴν ἕνωσιν
5 τῆς σαρκὸς ἀποδέδεικται, οὐκ ἄνθρωπος ὢν κατὰ τὸν ἀπόστολον, εἰ καὶ ἄνθρωπος ὑπὸ τοῦ αὐτοῦ κηρύσσεται, καὶ (τὸ ὅλον εἰπεῖν) ἀόρατος θεὸς ὁρατῷ σώματι μεταμορφούμενος, ἄκτιστος θεὸς κτιστῇ περιβολῇ φανερούμενος, κενώσας μὲν ἑαυτὸν κατὰ τὴν μόρφωσιν [δούλου], ἀκένωτος δὲ καὶ ἀναλλοίωτος καὶ
10 ἀνελάττωτος κατὰ τὴν θείαν οὐσίαν (οὐδεμία γὰρ ἀλλοίωσις περὶ θείαν φύσιν) οὐδὲ ἐλαττοῦται οὐδὲ αὐξάνεται. καὶ ὅτε λέγει „δόξασόν με“, ἀπὸ σώματος ἡ φωνὴ καὶ περὶ σῶμα ὁ δοξασμός, ἐπὶ τοῦ ὅλου λεγόμενος, διότι τὸ ὅλον ἐστὶν ἕν. καὶ πάλιν ἐπάγων „τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ
15 σοί“, τὴν ἔνδοξον ἀεὶ θεότητα δηλοῖ, εἰ καὶ ἰδίως θεότητι προσήκει τοῦτο, καίτοι κοινῶς ἐπὶ τοῦ ὅλου ῥηθέν. οὕτως καὶ θεῷ ὁμοούσιος κατὰ τὸ πνεῦμα τὸ ἀόρατον, συμπεριλαμβανομένης τῷ ὀνόματι καὶ τῆς σαρκός, ὅτι πρὸς τὸν ὁμοούσιον τῷ πατρὶ λόγον ἥνωται, καὶ πάλιν ἀνθρώποις ὁμοούσιος, συμπερι-
20 λαμβανομένης καὶ τῆς θεότητος τῷ σώματι, ὅτι πρὸς τὸ ἡμῖν ὁμοούσιον ἡνώθη, οὐκ ἐλαττουμένης τῆς τοῦ σώματος φύσεως ἐν τῇ πρὸς τὸν θεὸν ὁμοουσίῳ ἑνώσει καὶ τῇ κοινωνίᾳ τοῦ ὁμοουσίου ὀνόματος, ὥσπερ οὐδὲ ἡ τῆς θεότητος ἤλλακται φύσις ἐν τῇ κοινωνίᾳ τοῦ ἀνθρωπείου σώματος καὶ τῇ ὀνομασίᾳ
25 τῆς ἡμῖν ὁμοουσίου σαρκός. καὶ γὰρ ὁ Παῦλος λέγων „τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα“, τὸν υἱὸν εἶπεν τοῦ θεοῦ τὴν γέννησιν ταύτην ἀναδεδέχθαι καὶ οὐχὶ τὴν σάρκα χωρὶς ὀνομάσας εἴρηκεν Ἡ σὰρξ ἐγένετο ἐκ σπέρματος Δαβίδ. καὶ ὅτε λέγει „τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν χριστῷ Ἰησοῦ,
30 ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ“, οὐ χωρίσας εἶπεν Οὗ ἡ θεότης ἐν μορφῇ θεοῦ οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, καίτοι ἡ θεότης οὔτε Ἰησοῦς ὠνόμασται πρὸ τῆς ἐκ παρθένου γεννήσεως οὔτε τὴν ἐν ἁγίῳ πνεύματι χρίσιν ἔσχηκεν, ὅτι δοτὴρ τοῦ πνεύματος ὁ
35 τοῦ θεοῦ λόγος, οὐχ ἁγιαζόμενος ἐν πνεύματι. καὶ λέγει ὑπὲρ αὐτῶν „ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα ὦσιν αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ“, οὐ χωρίζων, καὶ λέγων Ἁγιάζω ἐμαυτόν, καίτοι τῷ σκοποῦντι μετὰ ἀκριβείας οὐ δυνατὸν αὐτὸν ὑφ' ἑαυτοῦ ἁγιάζεσθαι. [78] εἰ γὰρ ὅλος ἁγιάζει, τί τὸ ἁγιαζόμενον; εἰ ὁ σύμπας ἁγιά-

ζεται, τί τὸ ἁγιάζον; ἀλλ' ὅμως φυλάττων τὸ ἓν πρόσωπον καὶ τὴν ἀμέριστον ἑνὸς ζῴου δήλωσιν τό τε ἁγιάζειν καὶ τὸ ἁγιάζεσθαι καθ' ὅλου τέθεικεν, ἵν' ἀκριβὲς ἡμῖν ᾖ καὶ σαφές, ὅτι οὐ κατὰ τὸν προφητικὸν οὐδὲ κατὰ τὸν ἀποστολικὸν τρόπον ἄλλος ἄλλον ἁγιάζει, καθάπερ τὸ πνεῦμα τοὺς προφήτας καὶ 5 τοὺς ἀποστόλους, ὥσπερ ὁ Παῦλός φησι περὶ τῆς πάσης ἐκκλησίας „κλητοῖς ἁγίοις καὶ ἡγιασμένοις ἐν χριστῷ Ἰησοῦ" καὶ αὐτὸς ὁ σωτὴρ περὶ τῶν ἀποστόλων „ἁγίασον αὐτοὺς ἐν ἀληθείᾳ". ὅλη γὰρ ἡ ἀνθρωπίνη φύσις ἐν τῷ ἁγιάζειν. καὶ τὸ ἀγγελικὸν τάγμα ὡς αὐτὸς καὶ πᾶσα ἡ κτίσις ἁγιαζομένη ἐστὶ καὶ φωτι- 10 ζομένη, ἁγιάζον δὲ τὸ πνεῦμα καὶ φωτίζον, ἁγιάζων δὲ ὁ λόγος διὰ τοῦ πνεύματος καὶ φωτίζων, ἁγιαζόμενος δὲ οὐδαμῶς, κτίστης γὰρ καὶ οὐ κτίσμα. ἀλλὰ ἐνταῦθα τὸ ἁγιάζεσθαι, ἔνθα καὶ τὸ σεσωματῶσθαι, καὶ διῄρηται μὲν τὰ πράγματα, ἥνωται δὲ κατὰ τὴν τῆς σαρκὸς πρὸς θεότητα ἕνωσιν, ὥστε μὴ διαστέλ- 15 λεσθαι ἕτερον τὸν ἁγιάζοντα καὶ ἕτερον τὸν ἁγιαζόμενον καὶ αὕτη δὲ ὅλως ἡ σάρκωσίς ἐστιν ἁγιασμός. ὁ γὰρ σωτὴρ πρὸς τοὺς λέγοντας „σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεὸν" ἀποδέδωκεν τῆς ἰδίας ἀνθρωπότητος τὸν λόγον λέγων „ὃν ὁ πατὴρ ἡγίασεν καὶ ἀπέστειλεν εἰς τὸν κόσμον ὑμεῖς λέγετε ὅτι βλασφημεῖς ὅτι 20 εἶπον Υἱὸς θεοῦ εἰμι;" τίνα λέγων ἐνταῦθα ἁγιασμὸν ἢ τὸν τῆς σαρκὸς ὑπὸ τῆς θεότητος; οὕτω γὰρ ἔζησεν τὸ σῶμα θεότητος ἁγιασμῷ καὶ οὐκ ἀνθρωπίνης ψυχῆς κατασκευῇ καὶ ὅλως τὸ ὅλον ἐν συναφείᾳ. καὶ ἐνταῦθα „ὃν πατήρ, φησίν, ἡγίασεν καὶ ἀπέστειλεν" τὸ ἁγιάζον ἅμα καὶ τὸ ἁγιαζόμενον ἁγιάζεσθαι λέγει, 25 τῷ ἁγιαζομένῳ συνάψας τὸ ἁγιάζον. καὶ ἑρμηνεύει γε ἀλλαχοῦ τὸν ἁγιασμὸν τοῦτον ὅτι γέννησις ἦν ἡ ἐκ παρθένου. „ἐγὼ γὰρ εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἐλήλυθα ἐκ τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ". ἐκ θελήματος μὲν γὰρ σαρκὸς καὶ ἐκ θελήματος ἀνδρὸς ὁ κοινὸς ἄνθρωπος ψυχοῦται καὶ ζῇ, τῆς 30 ἐκπεμπομένης σπερματικῆς ὕλης ἐπιφερούσης τὴν ζωοποιὸν δύναμιν εἰς τὴν ὑποδεχομένην μήτραν· ἐκ δὲ πνεύματος ἐφόδου καὶ δυνάμεως ἐπισκιασμοῦ τὸ ἅγιον ἐκ τῆς παρθένου συνίσταται βρέφος, οὐ σπερματικῆς ὕλης ἐργαζομένης τὴν θείαν ζωήν, ἀλλὰ πνευματικῆς καὶ θεϊκῆς δυνάμεως ἐνδιδούσης τῇ παρθένῳ τὴν 35 θείαν κύησιν καὶ χαριζομένης τὸν θεῖον τοκετόν. οὕτω δὴ κατὰ τὸν τῆς ἑνότητος τρόπον καὶ τὸ ὑψοῦσθαι χριστὸν καὶ τὸ χαρισθῆναι αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ [79] πᾶν ὄνομα, καίτοι τῆς ὑψώσεως ἰδίως οὔσης, ἐπὶ τῆς κάτωθεν ἀναβαινούσης σαρκός· ἀλλ' ὅτι

οὐκ ἰδιαζόντως ἀναβαίνει, διὰ τοῦτο κοινῶς ὀνομάζεται τὸ ὅλον ὑψούμενον, καὶ τὸ κεχαρίσθαι δὲ αὐτῷ περὶ τὴν ἐξ ἀδοξίας δοξαζομένην σάρκα συνίσταται. οὐ γὰρ τὸ ἀεὶ τὴν δόξαν ἔχοντι λόγῳ προστίθεται δόξα διὰ χάριτος· ὅπερ γὰρ ὑπῆρχεν καὶ
5 μεμένηκεν, ἐν μορφῇ θεοῦ ὑπῆρχεν καὶ ἦν ἴσα θεῷ. ἴσον εἶναι θεῷ καὶ ἐν τῇ σαρκὶ λέγει, κατὰ τὸν Ἰωάννην πατέρα ἴδιον αὐτοῦ λέγων εἶναι τὸν θεὸν καὶ ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ. οὐκ ἄρα μετέπεσεν ἡ πρὸς θεὸν ἰσότης, ἀλλ' ἀναλλοίωτος ἡ θεότης ἔμεινεν ἐν ταὐτότητι. ἃ δὲ ἔχει, λαμβάνειν οὐ δυνατόν,
10 ὥσπερ τῆς σαρκὸς ὅπερ οὐκ ἔχει λαμβανούσης (τὸ ἀπαθὲς ἐκ τῶν παθημάτων, τὸ οὐράνιον ἐκ τῆς κατὰ γῆν διατριβῆς, τὸ βασιλικὸν ἐκ τῆς ὑπ' ἀνθρώποις δουλείας, τὸ προσκυνεῖσθαι ὑπὸ πάσης τῆς κτίσεως ἐκ τοῦ προσκυνεῖν) ἐπὶ τοῦ ὅλου λέγεται τὸ κεχαρίσθαι αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. καὶ εἴ τις
15 χωρίζειν τολμᾷ τὸ τῆς χάριτος ῥῆμα καὶ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, οὐδέτερον οἰκείως λεχθήσεται. εἰ γὰρ τῷ λόγῳ κεχάρισται ὡς οὐκ ἔχοντι, οὐδέποτε διὰ χάριτος δίδοται τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα — καὶ εἰ οὐκ ἀπὸ δόσεως ἀλλ' ἀπὸ φύσεως ἔχει τοῦτο (ὥσπερ ἔχει κατὰ θεότητα), οὐ δυνατόν ἐστι τοῦτο
20 δοθῆναι αὐτῷ. ὅθεν ἐξ ἀνάγκης καὶ τὸ σωματικὸν καθ' ὅλου καὶ τὸ θεϊκὸν καθ' ὅλου λέγεται καὶ ὁ μὴ δυνάμενος ἐν τοῖς ἡνωμένοις διαφόροις εἰδέναι, τί τὸ ἴδιον ἑκατέρου, ἐναντιώμασιν ἀσυμφώνως περιπεσεῖται, ὁ δὲ καὶ τὰ ἴδια γινώσκων καὶ τὴν ἕνωσιν φυλάσσων οὔτε τὴν φύσιν ψεύσεται οὔτε τὴν ἕνωσιν
25 ἀγνοήσει.

[74] Ἰουλίου ἀρχιεπισκόπου Ῥώμης πρὸς τοὺς κατὰ τῆς θείας τοῦ λόγου σαρκώσεως ἀγωνιζομένους προφάσει τοῦ ὁμοουσίου.

Μηδεὶς κατευτελιζέτω τὴν δεσποτικὴν καὶ σωτήριον σάρκα
30 τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ προφάσει τοῦ ὁμοουσίου. οὔτε γὰρ ἡμεῖς οὔτε ἡ ἡμετέρα σύνοδος οὔτε τις τῶν ἀνθρώπινον λογισμὸν ἐχόντων σῶμα καθ' ἑαυτὸ ὁμοούσιον λέγει ἢ φρονεῖ, ἀλλ' οὐδ' ἐξ οὐρανοῦ τὴν σάρκα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ λέγομεν, ἀλλ' ἐκ τῆς ἁγίας παρθένου Μαρίας ὁμολογοῦμεν σε-
35 σαρκῶσθαι τὸν θεὸν λόγον καὶ οὐ διαιροῦμεν αὐτὸν ἀπὸ τῆς αὐτοῦ σαρκός, ἀλλ' ἔστιν ἓν πρόσωπον, μία ὑπόστασις, ὅλος ἄνθρωπος, ὅλος θεός. εἰ οὖν καθ' ὁμοιότητα τοῦ ἀνθρώπου πιστεύομεν ἐληλυθέναι τὸν δεσπότην ἡμῶν Ἰησοῦν χριστόν, ἐξ αὐτῆς τῆς παρθενικῆς συλλήμψεως, καθ' ἣν καὶ θεοτόκος ἀποδέ-

δειχται ἡ παρθένος (καὶ τοῦτό ἐστι τὸ μυστήριον τῆς σωτηρίας ἡμῶν τὸ σαρκωθῆναι τοῦ θεοῦ λόγον), ἀχώριστός ἐστι καὶ ἀμέριστος τῆς ἑαυτοῦ σαρκὸς καὶ κατὰ τὴν πρὸς θεὸν λόγον ἕνωσιν τῆς κατὰ τὴν φύσιν ὁμοουσιότητος τοῦ λόγου τῆς πρὸς τὸν πατέρα ἐπικοινωνεῖ τῷ ὀνόματι ἡ νοερῶς ψυχωθεῖσα σὰρξ 5 αὐτοῦ οὗ καὶ σάρξ ἐστιν, εἴγε ἀληθῶς σάρκα ὁμολογοῦμεν γεγενῆσθαι τοῦ θεοῦ λόγον· εἰ δὲ μὴ ἐπικοινωνεῖ, πάντη ἀπηλλοτρίωται. οὔτε γὰρ σωτηρία ἐκ τῆς σαρκώσεως ἐπηκολούθει τοῖς πιστοῖς, ἐκτὸς τῆς θείας τριάδος ὑπαρχούσης· οὐδὲν γὰρ προσκυνητὸν οὐδὲ σωτήριον ἐκτὸς τῆς θείας τριάδος, ἀλλὰ πε- 10 ριττή τις καὶ ἄκαιρος αὐτοῖς ἀποδειχθήσεται ἡ σάρκωσις, ψεῦδος δὲ εὑρεθήσεται κατ' αὐτοὺς καὶ τὰ τῶν θείων γραφῶν, οἷον τὸ „ὁ λόγος σὰρξ ἐγένετο" καὶ τὸ „ἐτέχθη ἡμῖν σήμερον Ἰησοῦς χριστὸς ἐν πόλει Δαβίδ", ψεῦδος δὲ καὶ τὸ „θεὸς ἰσχυρὸς" καὶ τὸ „παιδίον" καὶ πάντα τὰ τούτοις ὅμοια, ἀλλ' οὐδὲ θεοτόκος ἡ 15 παρθένος ἔτι πιστευθήσεται, ὅπερ ἀθέμιτον καὶ ἀσεβὲς τὸ τοιοῦτον καὶ ἀλλότριον πάσης θεοσεβοῦς ψυχῆς· ἀνατραπήσεται γὰρ αὐτοῖς πᾶσα ἐλπὶς χριστιανῶν καὶ αὐτὸς ὁ χριστιανισμὸς εἰς οὐδὲν λογισθήσεται. οὐδὲ γὰρ τὸ μέγα καὶ τίμιον δῶρον, τὸ χριστιανῶν τὸ εἰς τὸν θάνατον τοῦ χριστοῦ τελούμενον λουτρόν, 20 θεῖόν τι λογισθήσεται ἀλλὰ ἀνθρώπινον, εἴγε οὐδὲ ἐναρίθμιός ἐστι τῇ θείᾳ τριάδι ἡ σάρκωσις τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. ἡμῖν δὲ ὁμολογητέον υἱὸν θεοῦ καὶ ἀληθινὸν τὸν πρὸ αἰῶνος τὸν ὁμοούσιον τῷ πατρὶ χριστὸν Ἰησοῦν τὸν κύριον ἡμῶν, ὃν ἡ παρθένος ἐγέννησε σωτῆρα καὶ λυτρωτήν. καὶ τούτῳ τὴν προσκύ- 25 νησιν ὀφειλόντως προσφέρομεν καὶ οὐκ ἀφορίζεται τῆς προσκυνήσεως ἡ σὰρξ αὐτοῦ. ἀδύνατον γὰρ μὴ διοριζομένης τῆς θείας ζωῆς διορίζεσθαι τὰ τῆς προσκυνήσεως· οὗ γάρ τις τὴν σάρκα οὐ προσκυνεῖ, τοῦτον οὐ προσκυνεῖ· οὐκοῦν ἐν τῇ ἑνώσει τοῦ λόγου πρὸς τὴν ἔμψυχον καὶ λογικὴν αὐτοῦ σάρκα ὡς ἑνὶ υἱῷ 30 μία καὶ προσκύνησις προσφέρεται παρ' ἡμῶν ὡς ὁ εὐαγγελιστὴς μίαν ζωὴν τοῦ λόγου καὶ τῆς σαρκὸς εὐαγγελιζόμενος „ὁ λόγος" φησὶ „σὰρξ ἐγένετο". οὐκοῦν εἰ σὰρξ ὁ λόγος γέγονεν, τὸν λόγον προσκυνῶν τις τὴν σάρκα προσκυνεῖ καὶ τὴν σάρκα προσκυνῶν τις τὴν θεότητα προσκυνεῖ καὶ οἱ προσκυνοῦντες τὸν χριστὸν 35 Ἰησοῦν ἀπόστολοι τῷ σώματι προσκυνοῦντες τὸν θεὸν λόγον προσεκύνουν. καὶ ἄγγελοι δὲ αὐτῷ διηκόνουν ὡς ἂν ἰδίῳ δεσπότῃ τῷ σώματι προσιόντες, καὶ ἡ παρθένος ἀπ' ἀρχῆς σάρκα τεκοῦσα τὸν λόγον ἔτικτεν καὶ ἦν θεοτόκος, καὶ Ἰουδαῖοι τὸ σῶμα σταυ-

ρώσαντες τὸν θεὸν ἐσταύρωσαν, καὶ οὐδεμία διαίρεσις τοῦ λόγου καὶ τῆς σαρκὸς αὐτοῦ ἐν ταῖς θείαις προφέρεται γραφαῖς, ἀλλ' ἐστὶ μία φύσις, μία ὑπόστασις, μία ἐνέργεια, ἓν πρόσωπον, ὅλος θεός, ὅλος ἄνθρωπος ὁ αὐτός. οὐσία γὰρ αὐτοῦ κατὰ
5 μὲν τὸ ἀόρατον ἡ θεότης, κατὰ δὲ τὸ ὁρατὸν ἡ σάρξ. οὔτε οὖν ἠλλοτρίωται οὔτε μεμέρισται τῆς θείας τριάδος ἡ σάρκωσις τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. καὶ γὰρ ἐν τῇ τῆς τριάδος ἐξαριθμήσει ἔφη τὸ βάπτισμα τὸ εἰς ἄφεσιν ἁμαρτιῶν καὶ σαρκὸς ἀνάστασιν διδόμενον, ὅπερ ἐστὶ θεότητος ἔργον καὶ οὐ κτιστῆς
10 φύσεως. ἓν γὰρ καὶ ταὐτὸν τὸ σῶμα καὶ ὁ θεός, οὗ τὸ σῶμα, οὐ μεταβληθείσης τῆς σαρκὸς εἰς τὸ ἀσώματον, ἀλλ' ἐχούσης καὶ τὸ ἴδιον τὸ ἐξ ἡμῶν κατὰ τὴν ἐκ παρθένου γέννησιν καὶ τὸ ὑπὲρ ἡμᾶς κατὰ τὴν τοῦ θεοῦ λόγου σύγκρασιν ἤτοι ἕνωσιν.

25, 18 ἐμπαγήσεσθαι
50, 10 post ὁρίζεται virgula ponenda est
52, 6 post ἐπαισθάνεται item
52, 26 post καλά item
60, 22 θάλατταν
77, 16 μυθώδη
89, 4 καρδίᾳ

Von dem herausgeber sind sonst erschienen:

Titi Bostreni contra Manichaeos libri IV syriace. 1859.
Didascalia apostolorum syriace. 1855.
Reliquiae iuris ecclesiastici antiquissimae syriace. 1857.
Analecta syriaca. 1858.
Appendix ad analecta syriaca arabica. 1858.

Reliquiae iuris ecclesiastici antiquissimae graece. 1857.
Hippolyti Romani quae feruntur omnia graece. 1858.

De geoponicon versione syriaca. 1856.
De novo testamento ad versionum orientalium fidem edendo. 1857.

Berolini, typis I. F. Starckii.